PIND. O. 9, 46: Λαοὶ δ' ὀνύμασθεν. I. 3, 25–6: τιμάεντες . . . λέγονται | πρόξενοί τ(ε).

HOM. Od. 9, 335: αὐτὰρ ἐγὼ πέμπτος μετὰ τοῖσιν ἐλέγμην. 20, 67–8: αἳ δὲ λίποντο | ὀρφαναὶ ἐν μεγάροισι.

Il. 1, 293: ἦ γάρ κεν δειλός τε καὶ οὐτιδανὸς καλεοίμην. 4, 84: Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.

66. εἶναι COMBINED WITH A COPULATIVE VERB.—Even after these εἶναι is sometimes found as *to be* is in English; e. g. "*Paul called to be an apostle.*"

ISAE. Cf. 2, 41: οὗ εἶναι ὠνομάσθην.

PLATO. Cf. Apol. 23 A: ὄνομα δὲ τοῦτο λέγεσθαι σοφὸς εἶναι. Rpb. 428 E: ὅσοι ἐπιστήμας ἔχοντες ὀνομάζονταί τινες εἶναι.

HDT. 5, 25 (*ter*). 7, 154: ἀπεδέχθη πάσης τῆς ἵππου εἶναι ἵππαρχος.

PIND. O. 10, 63–4: μάτρωος δ' ἐκάλεσσέ νιν | ἰσώνυμον ἔμμεν.

HOM. Cf. Il. 17, 150–1: Σαρπηδόν(α) . . . | κάλλιπες Ἀργείοισιν ἕλωρ καὶ κύρμα γενέσθαι.

67. PREVIOUS CONDITION.—Previous condition is represented by ἀντί or ἐξ with the gen.

DIN. 1, 111: εὑρήσετε γὰρ τοῦτον . . . ἀντὶ μὲν λογογράφου . . . πλουσιώτατον ὄντα τῶν ἐν τῇ πόλει, ἀντὶ δ' ἀγνῶτος . . . ἔνδοξον γεγενημένον.

DEM. 9, 21: μέγας ἐκ μικροῦ (see **65**). 18, 46 (see **64**). *Ibid.* 131: πλούσιος ἐκ πτωχοῦ . . . γεγονώς, *A rich man (plutocrat) from a pauper.*

LYS. 32, 17: ἀντὶ πλουσίων πτωχούς.

PLATO, Rpb. 566 D (see **65**).

XEN. Cyr. 8, 3, 39: ἐκ πένητος πλούσιος γεγένησαι.

HDT. 1, 87: πολέμιον ἀντὶ φίλου ἐμοὶ καταστῆναι.

AR. Cf. Av. 627 (see **25**). Ran. 1011: ἐκ χρηστῶν καὶ γενναίων μοχθηροτάτους ἀπέδειξας.

SOPH. Tr. 148–9: *ἕως τις ἀντὶ παρθένου γυνὴ | κληθῇ.*
PIND. O. 13, 66–7: *ἐξ ὀνείρου δ' αὐτίκα | ἦν ὕπαρ.*
On the Double Acc. after Active Verbs see Index.

OMISSION OF THE SUBJECT

68. PERSONAL PRONOUN EXPRESSED. — The personal pronoun of the first and second person is not expressed unless it is emphatic, as, for example, in contrasts.

τί μᾶλλον ἐμοῦ σὺ κατηγορεῖς ἢ 'γὼ σοῦ; DEM. 18, 196; *Why do you accuse me rather than I you?* *οὗτος μὲν γὰρ ὕδωρ, ἐγὼ δ' οἶνον πίνω,* DEM. 19, 46; *This fellow (drinks) water, I drink wine.*

DEM. 18, 196 (see above). 19, 46 (*id.*). 21, 28: *ἐγὼ . . . ὑμεῖς* (see **88**).

LYS. 1, 26: *οὐκ ἐγώ σε ἀποκτενῶ ἀλλ' ὁ τῆς πόλεως νόμος,* (It is) *not I that am about to kill thee, but the law of the state.* (Cf. AR. Eccl. 1055–6, cited below.)

PLATO, Conv. 172 B: *σὺ οὖν μοι διήγησαι.* Protag. 335 D (see **62**).

XEN. An. 1, 3, 6: *ἀλλὰ ἐπεὶ ὑμεῖς ἐμοὶ οὐκ ἐθέλετε πείθεσθαι, οὐδὲ ἕπεσθαι, ἐγὼ σὺν ὑμῖν ἕψομαι.*

THUC. 6, 14: *καὶ σύ, ὦ πρύτανι, ταῦτα . . . ἐπιψήφιζε.*

HDT. 6, 1: *τοῦτο τὸ ὑπόδημα ἔρραψας μὲν σύ, ὑπεδήσατο δὲ Ἀρισταγόρης.* 7, 11: *εἰ ἡμεῖς ἡσυχίην ἄξομεν, ἀλλ' οὐκ ἐκεῖνοι.*

AR. Vesp. 1426: *σὺ λέγε.* Eccl. 1055–6: *ἀλλ' οὐκ ἐγώ, | ἀλλ' ὁ νόμος ἕλκει σ(ε).*

EUR. Hec. 609–10: *σὺ δ' αὖ λαβοῦσα τεῦχος, ἀρχαία λάτρι, | . . . ἔνεγκε δεῦρο.*

SOPH. Antig. 508: *σὺ τοῦτο μούνη τῶνδε Καδμείων ὁρᾷς.*

PIND. *ἐγώ* 27 times, *σύ* and *τύ* together 10 times.

SOLON, fr. 2: *εἶην δὴ τότ' ἐγὼ Φολεγάνδριος ἢ Σικινήτης.*

HOM. Od. 1, 303–5: *αὐτὰρ ἐγὼν ἐπὶ νῆα θοὴν κατελεύσομαι ἤδη . . . σοὶ δ' αὐτῷ μελέτω.*

Il. 1, 76: *τοιγὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο.* 2, 485–6: *ὑμεῖς . . . πάρεστέ τε, ἴστε τε πάντα, | ἡμεῖς δὲ κλέος οἷον ἀκούομεν, οὐδέ τι ἴδμεν.*

69. UNEMPHATIC *ἐγώ* AND *σύ*.—The emphasis of the first and second persons is not to be insisted on too much in poetry or in familiar prose. Notice the frequency of *ἐγῷδα, ἐγῷμαι.* Noteworthy also is the return of *ἐγώ* in AESCHIN. 3.

70. OMISSION OF THE SUBJECT OF THE THIRD PERSON.—The personal pronoun of the third person has no nominative. Hence, the unemphatic subject of the third person is omitted when it can be readily supplied from the context.

71. SUBJECT OMITTED EVEN WHEN THERE IS A SUDDEN CHANGE OF SUBJECTS.—So free is the Greek in its omission of the subject that there is often a sudden change of subject without further warning.

ἡ γυνὴ ἀπῆει . . . ὡς τὸ παιδίον, ἵνα τὸν τιτθὸν αὐτῷ διδῷ (sc. *ἡ γυνή*) **καὶ μὴ βοᾷ** (sc. *τὸ παιδίον*), LYS. 1, 10.

LYS. 1, 10 (see above).

ANTIPHON. 1, 26: *πῶς οὖν ταύτην ἐλεεῖν* (sc. *τινά*) *ἄξιόν ἐστιν ἢ αἰδοῦς τυγχάνειν* (sc. *ταύτην*) *παρ' ὑμῶν ἢ ἄλλου του;*

XEN. An. 1, 2, 26: *ἡ γυνὴ αὐτὸν ἔπεισε καὶ πίστεις ἔλαβε* (sc. **Συέννεσις**).

THUC. 2, 3, 4: *ἐχώρουν* (sc. *οἱ Πλαταιῆς*) . . . *ἐπ' αὐτούς* (sc. *τοὺς Θηβαίους*), *ὅπως μὴ κατὰ φῶς θαρσαλεωτέροις οὖσι προσφέρωνται* (sc. *οἱ Πλαταιῆς*) *καὶ σφίσιν ἐκ τοῦ ἴσου γίγνωνται* (sc. *οἱ Θηβαῖοι*). 3, 62, 5: *ἐπειδὴ γοῦν ὅ τε Μῆδος ἀπῆλθε καὶ τοὺς νόμους ἔλαβε* (sc. *ἡ πόλις*). 8, 102, 1: *ὡς αὐτοῖς οἵ τε φρυκτωροὶ ἐσήμαινον καὶ ἠσθάνοντο* (sc. *οἱ Ἀθηναῖοι*) *τὰ πυρὰ ἐξαίφνης πολλὰ . . . φανέντα.*

SOPH. Ai. 549. Tr. 362–3 (where see Jebb).

PIND. O. 3, 20–2: *ὀφθαλμὸν ἀντέφλεξε Μήνα, | καὶ μεγάλων ἀέθλων ἁγνὰν κρίσιν . . . | θῆκε* (sc. *Ἡρακλῆς*). 9, 45–6. P. 4, 23–5. So elsewhere.

HES. fr. 5 Rz.: *οὐδέ οἱ ὕπνος | πῖπτεν ἐπὶ βλεφάροις, φυλακὴν δ' ἔχεν* (sc. *Ἄργος*) *ἔμπεδον αἰεί.*

HOM. Il. 23, 704–6: *ἀνδρὶ δὲ νικηθέντι γυναῖκ' ἐς μέσσον ἔθηκεν* (sc. *Πηλεΐδης*), | *πολλὰ δ' ἐπίστατο* (sc. *ἡ γυνή*) *ἔργα, τίον* (sc. *Ἀχαιοί*) *δέ ἑ τεσσαράβοιον.* | *στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν* (sc. *Πηλεΐδης*).[1]

72. SUBJECT CONTAINED IN THE VERB.—The subject is sometimes omitted in the third person, when it may be involved in the verb as the definite function of a definite character. **ἐκήρυξεν**, *he proclaimed* (*ὁ κῆρυξ*), etc. In a suit at law, the clerk is often addressed without any further note. In dramatic passages, a servant is often supposed to be at hand.

ἀναγνώτω (sc. *ὁ γραμματεύς*), DEM. [44], 45; *Let* (the clerk) *read.* **ἐπεὶ ἐσάλπιγξε** (sc. *ὁ σαλπιγκτής*), **προβαλλόμενοι τὰ ὅπλα ἐπῆσαν**, XEN. An. 1, 2, 17; *When the trumpet sounded*, etc.

DEM. [44], 45 (see above).

LYS. 19, 27: *ἃ δὲ κατέλιπεν* (sc. *ὁ Ἀριστοφάνης*), *ἀναγνώσεται* (sc. *ὁ γραμματεύς*) *ὑμῖν. Ibid.* 57.

XEN. An. 1, 2, 17 (see above). 2, 2, 4: *ἐπειδὰν . . . σημήνῃ.* 3, 4, 4: *ἐσήμηνε. Ibid.* 36: *ἐκήρυξε.* 5, 2, 12: *ὁπόταν σημήνῃ* (*bis*). 6, 5, 25: *ἕως σημαίνοι.*

[1] Note also N. T. Marc. 1, 31: *καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς εὐθέως, καὶ διηκόνει* (sc. *ἐκείνη*) *αὐτοῖς.*

Conv. 5, 2: μόνον, ἔφη, τὸν λαμπτῆρα ἐγγὺς προσενεγκάτω. Cyr. 2, 2, 2: ἤρξατο (sc. ὁ ἅρταμος). 4, 5, 42: κηρυξάτω.

Thuc. 3, 21, 3: ὥστε πάροδον μὴ εἶναι, ἀλλὰ δι' αὐτῶν μέσων διῆσαν (sc. οἱ διιόντες) = *those who had to go through* = οἱ φύλακες.

Hdt. 2, 47: ἐπεὰν θύσῃ. 2, 70: ἐπεὰν . . . δελεάσῃ.

Com. 3, 502: τὴν τράπεζαν ἧκ' ἔχων (sc. ὁ δοῦλος).

Pind. P. 1, 48: ἀνίχ' εὑρίσκοντο θεῶν παλάμαις τιμάν, *Hiero cum fratribus.*

Theogn. 473: οἰνοχοείτω.

Hom. Od. 4, 214: χευάντων (sc. θεράποντες). 21, 142: οἰνοχοεύει (sc. ὁ οἰνοχόος).

Il. 18, 492–3: νύμφας . . . | ἠγίνευν (sc. νυμφαγωγοί).

73. **θεῖα ῥήματα.**—Not essentially different from this use is the use of the so-called **θεῖα ῥήματα**, in which the name of the divine agent is omitted, such as **ὕει** (sc. ὁ ὕων = Ζεύς), *he rains* (*the rainer* = *Zeus*). So **βροντᾷ**, *he thunders*; **νίφει**, *he snows*; **σείει**, *he shakes* (*Poseidon*).

Lys. fr. 75, 4 (Sch.): ἤδη συσκοτάζοντος.

Thuc. 1, 51, 2: ξυνεσκόταζε γὰρ ἤδη. 4, 52, 1: καὶ τοῦ αὐτοῦ μηνὸς ἱσταμένου ἔσεισε.

Hdt. 2, 22: ὕσαι . . . ἐχιόνιζε (*bis*). 4, 28: τὴν μὲν ὡραίην οὐκ ὕει λόγου ἄξιον οὐδέν, τὸ δὲ θέρος ὕων οὐκ ἀνίει (note the masc. ptc. ὕων).

Ar. Ach. 1141: νίφει. fr. 2, 963, 13: καὶ ξυννένοφε καὶ χειμέρια βροντᾷ μάλ' εὖ.

Com. 2, 851, 2: νιφέτω μὲν ἀλφίτοις, | ψακαζέτω δ' ἄρτοισιν, ὑέτω δ' ἔτνει.

Hom. No example. See 74.

74. Divine Agent Expressed.—In Homer the divine agent is always expressed, as it often is in poetry, and even in prose that aims at reproducing the language of the people. That the notion of god is never abandoned is shown by the use of the genitive absolute, and not the accusative absolute. **ὕοντος**, *when it is raining.* See *Participial Accusative.*

Xen. Oec. 8, 16: ὅταν χειμάζῃ ὁ θεὸς ἐν τῇ θαλάττῃ. *Ibid.* 20, 11: ὕδωρ μὲν ὁ ἄνω θεὸς παρέχει. Ven. 8, 1: ὅταν νίφῃ ὁ θεός.

Hdt. 3, 117: τὸν μὲν γὰρ χειμῶνα ὕει σφι ὁ θεός. So elsewhere.

Ar. Ach. 510–11: καὐτοῖς ὁ Ποσειδῶν . . . | σείσας . . . ἐμβάλοι τὰς οἰκίας. Nub. 368: τίς ὕει; Av. 570: βροντάτω νῦν ὁ μέγας Ζάν. Lys. 1142: χὠ θεὸς σείων ἅμα. So elsewhere.

Soph. O. C. 1606: κτύπησε μὲν Ζεὺς χθόνιος.
Pind. O. 7, 49–50: ὁ μὲν (sc. Ζεύς) . . . | πολὺν ὗσε χρυσόν. I. 6 (7), 5.
Alcae. fr. 34: ὗει μὲν ὁ Ζεύς.
Hom. Od. 14, 305: Ζεὺς δ' ἄμυδις βρόντησε.
Il. 9, 236–7: Ζεὺς δέ σφι Κρονίδης ἐνδέξια σήματα φαίνων | ἀστράπτει. 12, 25: ὗε δ' ἄρα Ζεύς. 12, 279–80: ὅτε τ' ὄρετο μητίετα Ζεὺς | νιφόμενον.[1]

75. *Gen. Abs.:*

Lys. fr. 75, 4 (Sch.): ἤδη συσκοτάζοντος.
Xen. Hell. 1, 1, 16: ὄντος πολλῷ.
Ar. Vesp. 773–4: ἐὰν δὲ νίφῃ, πρὸς τὸ πῦρ καθήμενος (sc. ἡλιάσει), | ὄντος, εἴσει.[2]

76. Impersonal Verbs.—The same principle lies at the basis of all so-called impersonal verbs. Sometimes the subject is contained in the predicate, as when the passive is used impersonally, or when the infinitive is used without a subject.

ἐμοὶ . . . δεδιήγηται, Antiphon, 1, 31; *My tale has been told.*

Antiphon, 1, 31: ἐμοὶ μὲν οὖν δεδιήγηται καὶ βεβοήθηται τῷ ⟨τε⟩ τεθνεῶτι καὶ τῷ νόμῳ. 5, 75: ὅμως δ' οὖν κεκινδυνεύσεται.
Plato, Rpb. 457 E. εὖ μάλ' ἂν ἀμφισβητηθείη (cf. *ibid.* D: ἀμφισβήτησιν γενέσθαι).
Xen. Hell. 1, 3, 20: ἐπεὶ δὲ αὐτοῖς παρεσκεύαστο. Mem. 1, 7, 2: ἆρ' οὐ τὰ ἔξω τῆς τέχνης μιμητέον τοὺς ἀγαθοὺς αὐλητάς; . . . καὶ τούτῳ ταῦτα ποιητέον . . . καὶ τούτῳ πολλοὺς ἐπαινέτας παρασκευαστέον.
Thuc. 1, 46, 1: οἱ δὲ Κορίνθιοι, ἐπειδὴ αὐτοῖς παρεσκεύαστο, ἔπλεον ἐπὶ τὴν Κέρκυραν. 1, 91, 1: τειχίζεταί τε καὶ ἤδη ὕψος λαμβάνει (sc. τὸ τεῖχος). 7, 25, 9: ὡς . . . διαπεπολεμησόμενον. Cf. 7, 77, 3: ἱκανὰ γὰρ τοῖς τε πολεμίοις ηὐτύχηται.
Ar. Thesm. 1227: ἀλλὰ πέπαισται μετρίως ἡμῖν. Ran. 376: ἠρίστηται δ' ἐξαρκούντως.
Hom. Od. 9, 143: οὐδὲ προυφαίνετ' ἰδέσθαι. 19, 312: ἀλλά μοι ὧδ' ἀνὰ θυμὸν ὀΐεται, ὡς ἔσεταί περ.
Il. 22, 319: ὡς αἰχμῆς ἀπέλαμπ' εὐήκεος.
For additional examples of the impersonal passive, see **176**.
For the impersonal neuter plural in *-τέα*, see exx. under **37**.

77. Often the subject is practically an infinitive or a sentence. So in the case of such verbs as δεῖ, δοκεῖ, εἰσέρχεται (εἰσῄει,

[1] Note also Polyb. 31, 21, 9· συσκοτάζοντος ἄρτι τοῦ θεοῦ.
[2] Compare also Polyb. 31, 21, 9 (see above).

εἰσῆλθέ) με, ἐνδέχεται, ἔξεστιν, ἔστιν, ἔχει λόγον, οὐκ ἔστιν, παρέχει, πρέπει, προσήκει, συμφέρει, φαίνεται, χρή, etc.

ἅπαντα γὰρ δεῖ τἀληθῆ λέγειν, LYS. 3, 10; *It is necessary to tell all the truth, The whole truth must be told.*

DEM. 19, 204: οὔτε γὰρ ὡς συμφέρει Φωκέας ἀπολωλέναι . . . ἔνεστιν λέγειν αὐτῷ.

LYS. 3, 10: ἔδοξέ μοι κράτιστον εἶναι ἀποδημῆσαι ἐκ τῆς πόλεως.

THUC. 1, 120, 1: χρὴ γὰρ τοὺς ἡγεμόνας . . . τὰ κοινὰ προσκοπεῖν. 1, 120, 3: εὖ δὲ παρασχόν, ἐκ πολέμου πάλιν ξυμβῆναι (sc. ἀνδρῶν ἀγαθῶν ἐστιν).

HDT. 3, 71: ἐπείτε δὲ ἐς Δαρεῖον ἀπίκετο γνώμην ἀποφαίνεσθαι. 3, 142: καί μοι παρέχει νῦν ὑμέων ἄρχειν. 6, 27: φιλέει δέ κως προσημαίνειν, εὖτ' ἂν μέλλῃ μεγάλα κακὰ ἢ πόλι ἢ ἔθνεϊ ἔσεσθαι, but just below: ταῦτα μέν σφι σημήια ὁ θεὸς προέδεξε. 9, 68: δηλοῖ τέ μοι ὅτι πάντα τὰ πρήγματα τῶν βαρβάρων ἤρτητο ἐκ Περσέων.

EUR. H. F. 302–3: ἤδη δ' ἐσῆλθέ μ' εἰ παραιτησαίμεθα | φυγὰς τέκνων τῶνδ(ε).

HOM. Od. 1, 296–7: οὐδ' ἔτι σε χρὴ | νηπιάας ὀχέειν. Cf. 3, 14: Τηλέμαχ', οὐ μέν σε χρὴ ἔτ' αἰδόος. 8, 146: ἔοικε δέ σ' ἴδμεν ἀέθλους.

Il. 2, 24: οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα. 9, 337–8: τί δὲ δεῖ[1] πολεμιζέμεναι Τρώεσσιν | Ἀργείους;

For other examples, see **37**, and on the infinitive, see Index.

78. Sometimes an indefinite subject is to be supplied from the context. This is very easy in the dependencies of the infinitive, as that form always involves an indefinite accusative subject.

ISAE. 2, 13: [ὁ νόμος] κελεύει τὰ ἑαυτοῦ ἐξεῖναι διαθέσθαι ὅπως ἂν ἐθέλῃ. So elsewhere.

ANTIPHON, 5, 91: ἐν μὲν γὰρ ἀκεστῷ πράγματι καὶ ὀργῇ χρησαμένους καὶ διαβολῇ πιθομένους ἔλασσον ἔστιν ἐξαμαρτεῖν· μεταγνοὺς γὰρ ἔτι ἂν ὀρθῶς βουλεύσαιτο (sc. ὁ . . . χρησάμενος κτέ).

PLATO, Men. 97 A: οὐκ ἔστιν ὀρθῶς ἡγεῖσθαι, ἐὰν μὴ φρόνιμος ᾖ. So elsewhere. Cf. Rpb. 347 C: τῆς δὲ ζημίας μεγίστη τὸ ὑπὸ πονηροτέρου ἄρχεσθαι, ἐὰν μὴ αὐτὸς ἐθέλῃ ἄρχειν.

HDT. 1, 195: ἐσθῆτι δὲ τοιῇδε χρέωνται, κιθῶνι ποδηνεκέι λινέῳ, καὶ ἐπὶ τοῦτον ἄλλον εἰρίνεον κιθῶνα ἐπενδύνει (sc. ὁ χρεώμενος). 1, 216: οὖρος δὲ ἡλικίης σφι προκέεται ἄλλος μὲν οὐδείς· ἐπεὰν δὲ γέρων γένηται κάρτα κτέ. 2, 38: δοκιμάζουσι . . . ἢν . . . ἴδηται (sc. ὁ δοκιμάζων). 2, 65: εὐχόμενοι . . . ἱστᾶσι . . . διδοῖ (sc. ὁ εὐχόμενος).

EUR. Or. 428: μισούμεθ' οὕτως ὥστε μὴ προσεννέπειν (sc. τινά).

[1] The only instance of δεῖ in Homer.

HOM. Od. 5, 400: ὅσσον (ὅσον) τε γέγωνε βοήσας (?). 6, 294: *id.* 9, 473: *id.* 12, 181: *id.*

Il. 13, 287: οὐδέ κεν ἔνθα τεόν γε μένος καὶ χεῖρας ὄνοιτο, *a fault-finder.* 22, 199: ὡς (=as) δ' ἐν ὀνείρῳ οὐ δύναται φεύγοντα διώκειν, *a dreamer.*

79. Other ellipses of Time, Circumstances, and the like coincide with the English.

τῆς δ' ὥρας ἐγίγνετ' ὀψέ, DEM. 21, 84; *It was getting late.* ἦν πρὸς ἡμέραν, LYS. 1, 14; *It was drawing on towards day.*

DEM. 21, 84 (see above).

LYS. 1, 14 (see above).

PLATO, Conv. 217 D: σκηπτόμενος ὅτι ὀψὲ εἴη.

XEN. An. 1, 8, 1: ἤδη τε ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν. Ap. 23: ἔνθα οὐ προσβατὸν θανάτῳ. Hell. 1, 6, 20: ἐπεὶ σκότος εἴη, ἐξεβίβαζεν . . . ἐπειδὴ ἤδη μέσον ἡμέρας ἦν.

THUC. 1, 109, 3: ὡς δὲ αὐτῷ οὐ προυχώρει, *matters.* 2, 56, 1: ἐπειδὴ ἑτοῖμα ἦν, *things.* 2, 56, 4: ἐς ἐλπίδα μὲν ἦλθον τοῦ ἑλεῖν, οὐ μέντοι προεχώρησέ γε. 4, 93, 1: ἤδη γὰρ καὶ τῆς ἡμέρας ὀψὲ ἦν. 7, 84, 4: ἐς τὰ ἐπὶ θάτερά τε τοῦ ποταμοῦ παραστάντες οἱ Συρακόσιοι (ἦν δὲ κρημνῶδες [sc. τὸ χωρίον]).

HDT. 3, 82: ἐκ δὲ τοῦ φόνου ἀπέβη ἐς μουναρχίην.

HOM. Il. 22, 410: τῷ δὲ μάλιστ' ἄρ' ἔην (the situation) ἐναλίγκιον, ὡς εἰ κτέ.

See also exx. under **37**.

80. ONE. — *One* may be expressed by τις, or, chiefly in phrases, by the Ideal second person, an imaginary *you*.

τις:

DEM. 1, 21: φήσειέ τις ἄν. 3, 10: εἴποι τις ἄν, and so elsewhere. 4, 25: εἰ γὰρ ἔροιτό τις ὑμᾶς. 18, 252: πανταχόθεν μὲν τοίνυν ἄν τις ἴδοι.

PLATO, Legg. 905 C. Soph. 220 D: ἢ τί τις ἄν, Θεαίτητε, εἴποι κάλλιον; and so elsewhere.

XEN. An. 1, 9, 3: καταμάθοι ἄν τις, and elsewhere.

THUC. 1, 6, 6: πολλὰ δ' ἂν καὶ ἄλλα τις ἀποδείξειε κτέ., and elsewhere.

HDT. 1, 32: ἐν γὰρ τῷ μακρῷ χρόνῳ πολλὰ μέν ἐστι ἰδεῖν τὰ μή τις ἐθέλει.

AR. Pax, 833: ἀστέρες γιγνόμεθ', ὅταν τις ἀποθάνῃ.

SOPH. O. C. 1536–7: θεοὶ γὰρ εὖ μέν, ὀψὲ δ' εἰσορῶσ', ὅταν | τὰ θεῖ' ἀφείς τις εἰς τὸ μαίνεσθαι τραπῇ. Ph. 505: χὥταν τις εὖ ζῇ, and so often.

HOM. Od. 4, 535 = 11, 411: ὡς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.

Il. 3, 33: ὡς δ' ὅτε τίς τε δράκοντα ἰδὼν παλίνορσος ἀπέστη, and so elsewhere.

81. *Ideal Second Person:*

PLATO, Protag. 347 D: *ὅπου δὲ καλοὶ κἀγαθοὶ συμπόται καὶ πεπαιδευμένοι εἰσίν, οὐκ ἂν ἴδοις οὔτ' αὐλητρίδας οὔτε κτέ.* (?).

XEN. Cyr. 8, 1, 33: *ἐπέγνως δ' ἂν ἐκεῖ οὐδένα οὔτε ὀργιζόμενον κραυγῇ οὔτε χαίροντα ὑβριστικῶς γέλωτι, ἀλλὰ ἰδὼν ἂν αὐτοὺς ἡγήσω τῷ ὄντι εἰς κάλλος ζῆν. Ibid.* 8, 3, 42: *ὄψει* (?). *Ibid.* 8, 3, 43: *οὐδένα ἂν ἴδοις* (?). Hell. 6, 4, 16: *ὧν δὲ ζῶντες ἠγγελμένοι ἦσαν* (sc. *οἱ προσήκοντες*) *ὀλίγους ἂν εἶδες.*

HDT. 2, 29: *σχοῖνοι δὲ δυώδεκά εἰσι οὗτοι τοὺς δεῖ τούτῳ τῷ τρόπῳ διεκπλῶσαι* (which *one* must . . .). *καὶ ἔπειτα ἀπίξεαι ἐς* (and then *you* will reach) *πεδίον λεῖον . . . ἤξεις . . . ποιήσεαι . . . πλεύσεαι . . . ἤξεις.* 2, 30: *ἐν ἴσῳ χρόνῳ ἄλλῳ ἥξεις . . . ἐν ὅσῳ . . . ἦλθες.* 4, 28: *ὕδωρ ἐκχέας πηλὸν οὐ ποιήσεις, πῦρ δὲ ἀνακαίων ποιήσεις πηλόν.*

EUR. H. F. 1196: *οὐκ ἂν εἰδείης* (?).

SOPH. O. C. 431: *εἴποις ἄν* (?).

PIND. P. 10, 29: *ναυσὶ δ' οὔτε πεζὸς ἰὼν ἂν εὕροις.*

HOM. Od. 3, 124: *οὐδέ κε φαίης.*

Il. 4, 223: *ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις Ἀγαμέμνονα δῖον.* 4, 429: *οὐδέ κε φαίης.* 5, 85: *οὐκ ἂν γνοίης.* 15, 697: *φαίης κ(ε).*

82. INDEFINITE SUBJECT OF THE THIRD PERSON PLURAL OMITTED. — In the third person plural, the indefinite subject may be omitted, chiefly in verbs of saying and thinking.

ὥς φασι, DEM. 4, 9; *As they say,* and so elsewhere.

DEM. 4, 9 (see above). 19, 193: *εἰπεῖν δή φασι τὸν Σάτυρον, ὅτι κτέ.* 19, 194: *εἰπεῖν φασιν αὐτόν.*

PLATO, Legg. 803 D: *οἴονται . . . ἡγοῦνται*(?) Rpb. 428 B: *οὐ γάρ που ἀμαθίᾳ γε ἀλλ' ἐπιστήμῃ εὖ βουλεύονται.*

XEN. An. 1, 9, 5: *ἔκρινον δ' αὐτόν.*

THUC. 7, 69, 2: *ὅπερ πάσχουσιν ἐν τοῖς μεγάλοις ἀγῶσι.*

HDT. 2, 106: *τῇ τε ἐκ τῆς Ἐφεσίης ἐς Φώκαιαν ἔρχονται καὶ τῇ ἐκ Σαρδίων ἐς Σμύρνην.*

AR. Pax, 832: *ἃ λέγουσι.*

SOPH. Ph. 335: *ὡς λέγουσιν.*

PIND. O. 2, 31: *λέγοντι.* P. 1, 52 and P. 2, 21: *φαντί.*

HOM. Od. 1, 220: *τοῦ μ' ἔκ φασι γενέσθαι.*

Il. 4, 375: *πέρι δ' ἄλλων φασὶ γενέσθαι.* 18, 487: *καλέουσιν.*

83. OMISSION OF COPULA.—The forms *ἐστί* and *εἰσί* of the copula are omitted in saws and proverbs, in short statements and questions, rapid transitions, abstract expressions. So regularly with *-τέον, ἀνάγκη, ὥρα,* and the like. Other forms than *ἐστί* or *εἰσί* more rarely. Cf. also **9**.

βραχὺς ὁ ἔλεγχος (sc. *ἐστίν*), LYCURG. 33; *Brief is the proof.*

84. *ἐστί and εἰσί:*

LYCURG. 33: *ἁπλοῦν τὸ δίκαιον, ῥᾴδιον τὸ ἀληθές, βραχὺς ὁ ἔλεγχος.*

DEM. 18, 242: *πονηρὸν . . . πονηρὸν ὁ συκοφάντης.*

ANTIPHON, 5, 7: *ἡ μὲν οὖν αἴτησις ὦ ἄνδρες καὶ νομίμως καὶ ὁσίως ἔχουσα* (sc. *ἐστίν*).

PLATO, Euthyd. 304 B: *τὸ γὰρ σπάνιον, ὦ Εὐθ., τίμιον· τὸ δὲ ὕδωρ εὐωνότατον.* Euthyphr. 15 E: *καί μοι ὥρα ἀπιέναι.* Gorg. 507 A: *ἀνάγκη ταῦτ' εἶναι οὕτως.* Phaedr. 245 C: *ἀρχὴ δὲ ἀποδείξεως ἥδε. ψυχὴ πᾶσα ἀθάνατος. τὸ γὰρ ἀεικίνητον ἀθάνατον.* Theaet. 144 D (*bis*). 145 A: *σκεπτέον.*

XEN. Ven. 1, 1: *τὸ μὲν εὕρημα θεῶν . . . ἄγραι καὶ κύνες.*

THUC. 1, 32, 5: *ἀνάγκη* (sc. *ἐστίν*) . . . *ξυγγνώμη* (sc. *ἐστίν*). 3, 82, 2. 7, 77, 7: *ἄνδρες γὰρ πόλις, καὶ οὐ τείχη οὐδὲ νῆες ἀνδρῶν κεναί.*

HDT. 6, 129: *οὐ φρονὶς Ἱπποκλείδῃ.*

AR. Ach. 8: *ἄξιον γὰρ Ἑλλάδι.* *Id.* 40: *ἀλλ' οἱ πρυτάνεις γὰρ οὑτοὶ μεσημβρινοί* (sc. *εἰσίν*). *Id.* 41: *τοῦτ' ἐκεῖν' οὐγὼ 'λεγον.* Nub. 2–3. *Id.* 207: *αἵδε μὲν Ἀθῆναι* (sc. *εἰσίν*). Ran. 658: *βαδιστέον.*

EUR. Hel. 276: *τὰ βαρβάρων γὰρ δοῦλα πάντα πλὴν ἑνός.* Hipp. 436: *αἱ δεύτεραί πως φροντίδες σοφώτεραι, Sober second thought somehow is best.* I. A. 334. Ir. 234 N², etc.

SOPH. O. T. 84. 110–11 (36), etc., etc.

AESCHYL. Suppl. 998: *τέρειν' ὀπώρα δ' εὐφύλακτος οὐδαμῶς.*

PIND. O. 1, 34–5: *ἁμέραι δ' ἐπίλοιποι | μάρτυρες σοφώτατοι* (sc. *εἰσίν*). *Ibid.* 6, 9–11. N. 6, 1–2: *ἓν ἀνδρῶν, | ἓν θεῶν γένος.* Pindar seldom uses the copula.

HES. O. et D. 311: *ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος.* *Ibid.* 346: *πῆμα κακὸς γείτων.* (Common).

HOM. Od. 11, 379: *ὥρη μὲν πολέων μύθων, ὥρη δὲ καὶ ὕπνου.* *Ibid.* [456], and elsewhere.

Il. 1, 80. 177, etc., etc.

85. *Other forms of the copula:*

DEM. 4, 18: *εἰδὼς εὐτρεπεῖς ὑμᾶς* (sc. *ὄντας*). 4, 29: *ἐγὼ πλέων ἐθελοντὴς πάσχειν ὁτιοῦν ἕτοιμος* (sc. *εἰμί*), *ἐὰν μὴ ταῦθ' οὕτως ἔχῃ.* 18, 277: *καίτοι ἔγωγ' ὁρῶ τῆς τῶν λεγόντων δυνάμεως τοὺς ἀκούοντας τὸ πλεῖστον κυρίους* (sc. *ὄντας*). 19, 250: *εἶτ' οὐ σὺ σοφιστής* (sc. *εἶ*); *καὶ πονηρός γε* (sc. *εἶ*). *οὐ σὺ λογογράφος* (sc. *εἶ*); *καὶ θεοῖς ἐχθρός γε* (sc. *εἶ*).

ANTIPHON, 1, 4: *ὑμεῖς γάρ μοι ἀναγκαῖοι* (sc. *ἐστέ*).

PLATO, Rpb. 499 D: *περὶ τούτου ἕτοιμοι* (sc. *ἐσμέν*) *τῷ λόγῳ διαμάχεσθαι, ὡς κτέ.* Theaet. 143 D: *σοὶ δὴ οὐκ ὀλίγιστοι πλησιάζουσι, καὶ δικαίως· ἄξιος γὰρ* (sc. *εἶ*) *τά τε ἄλλα καὶ γεωμετρίας ἕνεκα.* *Ibid.* 146 B: *ἐγὼ μὲν γὰρ ἀήθης τῆς τοιαύτης διαλέκτου* (sc. *εἰμί*), *I'm unfamiliar with this style of talk.*

THUC. 1, 23, 2: *οὔτε φυγαὶ τοσαίδε ἀνθρώπων καὶ φόνος* (SC. *ἐγένοντο*).

SOPH. O. T. 91–2: *εἰ τῶνδε χρῄζεις πλησιαζόντων κλύειν,* | *ἕτοιμος* (SC. *εἰμί*) *εἰπεῖν, εἴτε καὶ στείχειν ἔσω.*

HOM. Od. 4, 206 = 18, 126: *τοίου γὰρ καὶ πατρός* (SC. *ἐσσί*).

Il. 9, 225: *χαῖρ', Ἀχιλεῦ· δαιτὸς μὲν ἐίσης οὐκ ἐπιδευεῖς* (SC. *εἰμέν*). 20, 434: *οἶδα δ' ὅτι σὺ μὲν ἐσθλός* (SC. *ἐσσί*), *ἐγὼ δὲ σέθεν πολὺ χείρων* (SC. *εἰμί*). 21, 482: *χαλεπή τοι ἐγὼ* (SC. *εἰμί*) *μένος ἀντιφέρεσθαι,* and so elsewhere.

86. *In Dependent Clauses:*

ἀκούετ' ὦ ἄ. Ἀ. τῆς ἐπιστολῆς, ὡς καλὴ καὶ φιλάνθρωπος (SC. *ἐστίν*), DEM. 19, 39.

DEM. 4, 29: *πόθεν οὖν ὁ πόρος τῶν χρημάτων* (SC. *ἔσται*), . . ., *τοῦτ' ἤδη λέξω.* 8, 6 (rel. sent.). 9, 16: *εἰ μὲν γὰρ μικρὰ ταῦτα . . . ἄλλος ἂν εἴη λόγος.* 20, 55: *ἐσμέν* in rel. cl.

LYS. 18, 11: *ἀλλ' οἷς μάλιστα προσῆκον* (SC. *ἦν*).

ANT. 5, 32: *ἐφ' οἷς ἂν . . .* (SC. *ᾖ*).

PLATO, Rpb. 371 A: *ὧν ἂν αὐτοῖς χρεία* (SC. *ᾖ*).

XEN. Apol. 23: *ἔνθα οὐ προσβατὸν* (SC. *εἴη*) *θανάτῳ.*

THUC. 1, 32, 5: *ἐπειδὴ δὲ . . . μέγας ὁ κίνδυνος* (SC. *ἐστίν*). 2, 53, 3: *ὅ τι δὲ ἤδη τε ἡδύ* (SC. *ἦν*). 2, 62, 5: *ἧς ἐν τῷ ἀπόρῳ* (SC. *ἐστὶν*) *ἡ ἰσχύς.*

AR. Ach. 19–20: *ὡς νῦν, ὁπότ' . . .* | *. . . ἔρημος* (SC. *ἐστίν*) *ἡ πνὺξ αὐτηί.*

EUR. Hipp. 659–60: *ἔστ' ἂν ἔκδημος χθονὸς* | *Θησεύς* (SC. *ᾖ*).

PIND. O. 1, 84: *θανεῖν δ' οἷσιν ἀνάγκα* (SC. *ἐστίν*). *Ibid.* 3, 42: *εἰ δ' ἀριστεύει μὲν ὕδωρ, κτεάνων δὲ χρυσὸς αἰδοιέστατον* (SC. *ἐστίν*).

HES. O. et D. 40: *οὐδὲ ἴσασιν, ὅσῳ πλέον ἥμισυ παντός* (SC. *ἐστίν*).

HOM. Od. 15, 393–4: *οὐδέ τί σε χρή,* | *πρὶν ὥρη* (SC. *ἔῃ*), *καταλέχθαι.*

Il. 1, 116: *εἰ τό γ' ἄμεινον* (SC. *ἐστίν*). *Ibid.* 156–7: *ἐπεὶ ἦ μάλα πολλὰ μεταξὺ* | *οὔρεά τε σκιόεντα* (SC. *ἐστίν*). *Ibid.* 547: *ἀλλ' ὃν μέν κ' ἐπιεικὲς* (SC. *ἔῃ*) *ἀκουέμεν.* 5, 480: *ὅς κ' ἐπιδευὴς* (SC. *ἔῃ*), and so elsewhere. 20, 434 (85).

87. OMISSION OF THE VERBAL PREDICATE.—As in other languages, so in Greek the verbal predicate may be omitted when it is more or less distinctly suggested by other words in the sentence. This happens most frequently in the case of verbs of Going, Coming, Doing, Happening, Saying. There seems to be no ellipsis of a definite word in examples of this kind.

LYCURG. 119: *τί δοκοῦσιν ὑμῖν, ὦ ἄνδρες* (SC. *ποιεῖν?*); *ἆρά γε ὁμοίως ὑμῖν περὶ τῶν ἀδικούντων γιγνώσκειν;*

DEM. 24, 187: *καὶ περὶ μὲν τούτου κατὰ σχολήν* (SC. *ἐρῶ?*). [56], 50: *δεῦρο* (SC. *ἴθι?*), *Δημόσθενες.*

ISOC. 8, 37: *οὐδὲν* (SC. *ποιοῦσιν?*) *ἀλλ' ἢ συμβουλεύουσιν ἡμῖν πάλιν περὶ*

ἀνδραποδισμοῦ κινδυνεύειν (cf. DEM. 8, 10: σκοπεῖθ' ὅτι οὐδὲν ἄλλο ποιοῦσιν ἢ καθιστᾶσι τὴν πόλιν εἰς τὸν αὐτὸν τρόπον).

ANDOC. 1, 150: δεῦρο (sc. ἴτε?) Ἄνυτε, Κέφαλε, ἔτι δὲ καὶ οἱ φυλέται οἱ ῥηρμένοι μοι συνδικεῖν, Θράσυλλος καὶ οἱ ἄλλοι.

PLATO, Theaet. 142 A: ἄρτι, ὦ Τερψίων, ἢ πάλαι ἐξ ἀγροῦ (sc. ἥκεις);

XEN. An. 7, 7, 57: φανερὸς ἦν οἴκαδε (sc. ἰέναι?) παρασκευαζόμενος. Hell. 2, 3, 20: κελεύσαντες ἐπὶ τὰ ὅπλα (sc. ἰέναι?)

AR. Nub. 690: δεῦρο δεῦρ', Ἀμυνία. Vesp. 142: σὺ δὲ τῇ θύρᾳ πρόσκεισο. ταῦτ', ὦ δέσποτα (cf. PLATO, Cratyl. 440 E: ταῦτ' ἔσται, ὦ Σώκρατες). Vesp. 982: ἐς κόρακας. ὡς οὐκ ἀγαθόν ἐστι τὸ ῥοφεῖν (cf. Ach. 864: παῦ' ἐς κόρακας. Nub. 133: βάλλ' ἐς κόρακας. Plut. 604: ἔρρ' ἐς κόρακας). Thesm. 241: ὕδωρ ὕδωρ (sc. φέρετε?), ὦ γείτονες. Ran. 1279: εἰς τὸ βαλανεῖον (sc. ἰέναι?) βούλομαι. Plut. 526: ἐς κεφαλὴν σοί (cf. Ach. 833: πολυπραγμοσύνη νυν ἐς κεφαλὴν τράποιτ' ἐμοί. DEM. 18, 290: ἃ σοὶ καὶ τοῖς σοῖς οἱ θεοὶ τρέψειαν εἰς κεφαλήν).

CONCORD

THE THREE CONCORDS.—There are three great concords in Greek:

1. The agreement of the predicate with the subject (88–136).
2. The agreement of the attributive or the appositive with the substantive (see Index).
3. The agreement of the relative with the antecedent (see Index).

Agreement of the Predicate with the Subject

88. THE VERBAL PREDICATE.—The verbal predicate agrees with its subject in number and person.

τοῦτο γὰρ αὐτὸν ἐγὼ προὐβαλόμην καὶ περὶ τούτου τὴν ψῆφον οἴσετε νῦν ὑμεῖς, DEM. 21, 28; *This is why* I *presented him* (*this is the gist of my charge against him*), *and this is the point about which* YOU *are now to cast your votes.* τί ποιοῦσιν οἱ νόμοι; DEM. 21, 30; *What do the laws do?* τὼ μὲν οὖν ἀδελφὼ αὐτῷ, ὃ περ ἐγενέσθην, ἄμφω ἄπαιδε ἐτελευτησάτην, ISAE. 6, 6; *He had both his brothers to die childless.* ἵτ', ὦ μεγίστης Παλλάδος καλούμεναι | πασῶν Ἀθῆναι τιμιωτάτη πόλις, SOPH. O. C. 107–8.

For the use of a verb of the First Person Plural with a subject of the First Person Dual, see 105.

89. THE ADJECTIVE PREDICATE.—The adjective predicate agrees with its subject in number, gender, and case.

δόξῃ μὲν χρήματα κτητά, δόξα δὲ χρημάτων οὐκ ὠνητή, ISOC. 2, 32. πασῶν ἦν βελτίστη (sc. ἡ ἐμὴ γυνή), LYS. 1, 7. ἐγὼ δὲ . . . μεστὸς ἦν ὑποψίας,

Ibid. 17. **αἱ δεύτεραί πως φροντίδες σοφώτεραι,** EUR. Hipp. 436 (84). **αἰσχρὸς φανοῦμαι,** SOPH. Ph. 906 (Neoptolemos speaks).

90. CONCORD WHEN THE SUBJECT IS AN INFINITIVE OR A SENTENCE, OR THE VERB IS IMPERSONAL.—When the subject is an infinitive or a sentence (77), or the verb is impersonal (76), the predicate adjective (including verbals in *-τέος*) is regularly in the neuter singular.

ἀκοῦσαί γ' ἄξιον, AR. Eq. 624; *'Tis worth the while to lend an ear.* **φανερὸν ἦν ὅτι οὐδὲν δεινὸν ἐγεγόνει περὶ τὴν πόλιν,** LYCURG. 21; *It was evident that no calamity had befallen the city.* **δεινὸν . . . εἰ μαχούμεθα,** AR. Vesp. 426; *It's dreadful if we've got to fight.* **ἐρόμενος εἴ που εἰδεῖέν τι χωρίον . . . ἔνθα οὐ προσβατὸν θανάτῳ,** XEN. Apol. 23 (86). **βαδιστέον τἄρ' ἐστὶν εἰς ἀγορὰν ἐμοί,** AR. Eccl. 711.

LYCURG. 3. *Ibid.* 21 (see above).

LYS. 12, 36: *δεινὸν εἰ τοὺς . . . στρατηγοὺς . . . ἐζημιώσατε.* 18, 15. 34, 11: *δεινὸν γὰρ ἂν εἴη, ὦ 'Α., εἰ . . . οὐκ οὖν αἰσχρὸν εἰ . . .;*

AND. 1, 8: *ἅμα δὲ περὶ πάντων εἰπεῖν ἀδύνατον.*

ANT. 1, 26: *πῶς οὖν ταύτην ἐλεεῖν ἄξιόν ἐστιν;*

PLATO, Crito, 53 C: *ἆρα ἄξιόν σοι ζῆν ἔσται;* Theaet. 187 E: *κρεῖττον γάρ που σμικρὸν εὖ ἢ πολὺ μὴ ἱκανῶς περᾶναι.*

XEN. Apol. 23 (see above). Mem. 1, 7, 2 (76).

AR. Lys. 292. 293. Ran. 652. 656. 658. Eccl. 711 (see above). 875–6: *βαδιστέον | ὁμόσ' ἐστὶ δειπνήσοντα κοὐ μελλητέον.*

EUR. Alc. 1078: *ῥᾷον παραινεῖν ἢ παθόντα καρτερεῖν.* Tr. 472. 637: *τοῦ ζῆν δὲ λυπρῶς κρεῖσσόν ἐστι κατθανεῖν.* 1225.

PIND. P. 4, 272: *ῥᾴδιον μὲν γὰρ πόλιν σεῖσαι.*

SOLON, 7: *ἔργμασιν ἐν μεγάλοις πᾶσιν ἁδεῖν χαλεπόν.*

MIMNERM. 2, 10: *αὐτίκα τεθνάμεναι βέλτιον ἢ βίοτος.*

HOM. Od. 5, 359: *ὄφθι μοι φάτο φύξιμον εἶναι* (37).

Il. 2, 298. 5, 253: *οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι.*

For the use of the neuter plural instead of the singular, see **37**.

91. AGREEMENT OF THE PREDICATE WITH THE SUBJECT OF THE LEADING VERB.—When the subject of the infinitive is the same as the subject of the leading verb, the subject of the infinitive is commonly suppressed. In that case the substantive or adjective predicate of a copulative verb, or the predicate attributes of any verb, agree with the subject of the leading verb.

πολὺ ἂν αὐτῆς μᾶλλον ἐγὼ πολίτης δεξαίμην εἶναι ἢ ἑτέρων πόλεων, ANDOC.

1, 5; *Far rather would I be a citizen of her* (my country) *than of other states.* **ἰδὼν δὲ ταῦτ' ἔφη ἐπὶ Λαύριον ἰέναι,** *Ibid.* 39; *He said that when he had seen* (all) *this he went on to Laurion.* **ἀξιοῦμεν ἐλεύθεροι εἶναι,** XEN. Cyr. 8, 1, 4; *We claim to be free.*

For further exx., see *Infinitive.*

92. On the use of the Predicate Vocative for the Nominative, see 25.

93. AGREEMENT OF THE SUBSTANTIVE PREDICATE.—The substantive predicate agrees with its subject in case.

τῶν γὰρ ὄμβρων καὶ τῶν αὐχμῶν . . . ὁ Ζεὺς ταμίας ἐστίν, ISOC. 11, 13; *Zeus is the dispenser of showers and droughts.* **ἐπεὶ οὗτοί γε φανερά ἐστι . . . διαφθορὰ τῶν συγγιγνομένων,** PLATO, Meno, 91 C; *Since these fellows are a manifest ruin of those who go with them.*

ISOC. 11, 13 (see above).

PLATO, Hipp. Mai. 284 C: *νόμον δὲ λέγεις, ὦ Ἱππία, βλάβην πόλεως εἶναι ἢ ὠφέλειαν;* Meno, 91 C (see above).

HDT. 2, 38: *ἀσήμαντον δὲ θύσαντι θάνατος ἡ ζημίη ἐπικέεται.*

PIND. P. 1, 88: *πολλῶν ταμίας ἐσσί.*

94. On the use of the Predicate Nominative, etc., where the Latin uses the Dative of the Object For Which, see under the Dative.

95. For the Substantive Predicate agreeing with the Subject of the Leading Verb, see 91.

96. SUBSTANTIVA MOBILIA.—*Substantiva mobilia* are treated as adjectives and follow the number and gender of the subject.

τῆς Ἀφροδίτης . . . θεράπων γέγονεν ὁ Ἔρως, PLATO, Conv. 203 C; *Eros is the man-servant (valet) of Aphrodite.* **οὐ γάρ ἐστιν ἐν γένει σοι ἡ ἄνθρωπος, οὐδὲ θεράπαινα,** DEM. [47], 70; *The wench is of no kin to you, not even a maid (-servant).*

DEM. [47], 70 (see above).

PLATO, Conv. 203 C (see above). Politic. 301 B: *βασιλέα* (sc. *αὐτόν*) *καλοῦμεν.* Tim. 22 D: *ἡμῖν δὲ ὁ Νεῖλος . . . σωτήρ.*[1]

XEN. Cyr. 1, 4, 9: *σὺ γὰρ νῦν γε ἡμῶν ἔοικας βασιλεὺς εἶναι.*

HDT. 1, 7: *Ἄγρων . . . βασιλεὺς ἐγένετο Σαρδίων, Agron became King of Sardis.* 1, 205: *ἦν δέ . . . γυνὴ τῶν Μασσαγετέων βασίλεια.*

AR. Ran. 1127: *σωτὴρ*[1] *γενοῦ μοι* (To Hermes).

[1] It must be noted, however, that the inflection is capricious and *σωτήρ* is found for *σώτειρα.*

General Exceptions

97. NEUTER PLURAL WITH SINGULAR VERB.—The neuter plural is treated as a collective, and takes a singular verb.

διαρπασθήσεται τὰ χρήματα, DEM. 8, 54; *Our money (treasury) will be pillaged.* **ἥσθη τὰ μειράκια,** PLATO, Riv. 134 B; *The lads were delighted.* **τὰ κυνίδια . . . κυβιστᾶν καὶ ἄλλα πολλὰ μανθάνει,** XEN. Oec. 13, 8; *Poodles learn to turn a somersault,* etc.

DEM. 8, 54 (see above). [59], 58: *ταῦτ' ἔστω ὑμῖν τεκμήρια.*

ANT. 5, 20: *συνέπλει δὲ τά τε ἀνδράποδα.*

PLATO, Crat. 402 A: *πάντα χωρεῖ καὶ οὐδὲν μένει.* Riv. 134 B (see above).

XEN. Oec. 13, 8 (see above).

THUC. 6, 32, 1: *ἐπειδὴ . . . ἐσέκειτο πάντα.*

HDT. 7, 9, γ): *οὐκ ἐς τοῦτο θράσεος ἀνήκει τὰ Ἑλλήνων πρήγματα. Ibid.: ἀπὸ πείρης πάντα ἀνθρώποισι φιλέει γίνεσθαι.*

AR. N. 39–40: *τὰ δὲ χρέα . . . | εἰς τὴν κεφαλὴν ἅπαντα τὴν σὴν τρέψεται.* Vesp. 818: *τὰ δ' ἄλλ' ἀρέσκει μοι.*

EUR. Heracl. 838: *ἦν δὲ δύο κελεύσματα. Ibid.* 1004: *τοιαῦτα δρῶντι τἄμ' ἐγίγνετ' ἀσφαλῆ.*

SOPH. Ph. 113: *αἱρεῖ τὰ τόξα ταῦτα τὴν Τροίαν μόνα.*

AESCHYL. Pers. 418–9: *ὑπτιοῦτο δὲ | σκάφη νεῶν.*

PIND. O. 1, 77–8: *φίλια δῶρα Κυπρίας ἄγ' εἴ τι, Ποσείδαον, ἐς χάριν | τέλλεται.*

THEOGN. 171–2: *οὔ τοι ἄτερ θεῶν | γίνεται ἀνθρώποις οὔτ' ἀγάθ' οὔτε κακά.*

HOMER.—In Homer, neuter plurals are found sometimes with the singular, sometimes with the plural. There is a long list of neuter plurals[1] that are construed only with a singular verb; other words, such as *πάντα, ταῦτα, ἅρματα, δούρατα,* etc., occur with both singular and plural verbs, and a few are used exclusively with the plural.

Examples of the neuter plural with a singular verb are: Od. 4, 703: *τῆς δ' αὐτοῦ λύτο γούνατα.* 5, 297: *καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα.*

Il. 10, 252: *ἄστρα δὲ δὴ προβέβηκε.* 24, 420: *σὺν δ' ἕλκεα πάντα μέμυκεν.*

98. This construction is ascribed to the form, for some of the neuter plurals seem to have been originally collective singulars.

[1] See Vogrinz, Gram. des hom. Dialektes, pp. 288–9, and compare Monro, Homeric Grammar[2], § 172.

99. Adjective Predicate of Neuter Plural Subject. —The adjective predicate of the neuter plural subject is, of course, plural.

ταῦτ' ἐστὶν ἀληθῆ, Dem. 2, 19; *That is true.*

100. Neuter Dual Subject. — The neuter dual is found with the dual, the plural, and the singular.

ὅσσε w. dual: Hom. Od. 4, [662]. Il. 1, 104: ὅσσε δέ οἱ πυρὶ λαμπετάοντι ἐίκτην. 17, 679–80.

ὅσσε w. plural: Hom. Il. 1, 200: δεινὼ δέ οἱ ὄσσε φάανθεν. 19, 16–7.

ὅσσε w. sing.: Hom. Od. 6, 131–2: ἓν δέ οἱ ὄσσε | δαίεται. Il. 12, 466. 23, 477.

101. Accusative Absolute in Plural accompanied by a Participial Predicate in the Singular.—In the accusative absolute, the participial predicate sometimes follows the analogy of the verbal predicate. See *Participial Accusative.*

102. Neuter Plural with a Plural Verb.—When the neuter is merely a formal neuter, the plural verb *may* be used. So also when variety is emphasized (distributive plural). In older poetry, this occurs frequently when the plural form of the verb would be more convenient than the singular, yet not without a tinge of personification or a suspicion of dualism. In the mechanical syntax of later Greek the neuter plural with the verb plural becomes common.

οὐ μὴν τὰ μειράκια . . . τὴν αὐτὴν ἐμοὶ γνώμην ἔσχεν, ἀλλ' ἐμὲ μὲν ἐπῄνεσαν . . . ἐκείνου δὲ κατεφρόνησαν, Isoc. 12, 229; *True, the lads did not take the same view with me, but* (for all that) *they applauded me and despised him.*

Isoc. 12, 229: οὐ μὴν τὰ μειράκια τὰ πᾶσι παραγεγενημένα τούτοις τὴν αὐτὴν ἐμοὶ γνώμην ἔσχεν, ἀλλ' ἐμὲ μὲν ἐπῄνεσαν ὡς διειλεγμένον τε νεαρωτέρως ἢ προσεδόκησαν, . . . ἐκείνου δὲ κατεφρόνησαν, οὐκ ὀρθῶς γιγνώσκοντες ἀλλὰ διημαρτηκότες ἀμφοτέρων ἡμῶν.

Ant. 5, 34: οὐδέτερα ὠφέλησαν, *Neither did any good* (sc. τἀληθῆ . . . τὰ ψευδῆ); but Blass follows Reiske and the Zurich editors in reading ὠφέλησεν.

Plato, Lach. 180 E: τὰ γὰρ μειράκια τάδε πρὸς ἀλλήλους οἴκοι διαλεγόμενοι θαμὰ ἐπιμέμνηνται Σωκράτους καὶ σφόδρα ἐπαινοῦσιν, *These lads, while conversing with each other at home, often make mention of Socrates, and praise him highly.* Legg. 856 D–E: τῶν δὲ λαχόντων τὰ ὀνόματα εἰς

Δελφοὺς πεμφθέντων, *Let the names of those who drew the lot be sent to Delphi.*

XEN. Cyr. 2, 3, 9: ὥσπερ γε καὶ τἆλλα ζῷα ἐπίστανταί τινα μάχην ἕκαστα . . . καὶ φυλάττεσθαί γ', ἔφη, ἅπαντα ταῦτα ἐπίστανται. 5, 1, 14: τὰ μοχθηρὰ ἀνθρώπια πασῶν οἶμαι τῶν ἐπιθυμιῶν ἀκρατῆ ἐστι, κἄπειτα ἔρωτα αἰτιῶνται, *The wretched mass of humanity is powerless over all its desires, and then they* (the individuals) *blame love.* Hell. 1, 1, 23: παρὰ δὲ Ἱπποκράτους . . . εἰς Λακεδαίμονα γράμματα πεμφθέντα ἑάλωσαν εἰς Ἀθήνας.

THUC. 3, 82, 8: τὰ δὲ μέσα τῶν πολιτῶν . . . διεφθείροντο, *The neutral party of the citizens* (in the state) *were exposed to ruin.* 5, 75, 2: Κάρνεια . . . ἐτύγχανον ὄντα, *The Karneia happened to be holding,* but HDT. 7, 206: Κάρνεια γάρ σφι ἦν ἐμποδών. 6, 13, 1: ἐπιθυμίᾳ μὲν ἐλάχιστα κατορθοῦνται, προνοίᾳ δὲ πλεῖστα.

HDT. 4, 149: τοῖσι δὲ ἐν τῇ φυλῇ ταύτῃ ἀνδράσι οὐ γὰρ ὑπέμειναν τὰ τέκνα, ἱδρύσαντο . . . ἱρόν· καὶ μετὰ τοῦτο ὑπέμειναν.

AR. Ach. 805–809: ἐνεγκάτω τις ἔνδοθεν τῶν ἰσχάδων | τοῖς χοιριδίοισιν. ἆρα τρώξονται; βαβαί, οἷον ῥοθιάζουσ', ὦ πολυτίμηθ' Ἡράκλεις. | ποδαπὰ τὰ χοιρί'; ὡς Τραγασαῖα φαίνεται (note sing.). | ἀλλ' οὔτι πάσας κατέτραγον τὰς ἰσχάδας. |

PIND. O. 2, 92. 8, 12. 10 (11), 85. P. 1, 13. 4, 121: ἐκ δ' ἄρ' αὐτοῦ πομφόλυξαν δάκρυα γηραλέων γλεφάρων. 9, 88: τά (sc. ὕδατα) νιν θρέψαντο καὶ Ἰφικλέα, *Which waters reared him and Iphikles.*

HOM. See remark on HOMER, **97**. Od. 4, 132: χρυσῷ δ' ἔπι χείλεα κεκράαντο. *Ibid.* 417–8: ὅσσ' ἐπὶ γαῖαν | ἑρπετὰ γίγνονται. 437: πάντα δ' ἔσαν (sc. τὰ δέρματα) νεόδαρτα.

Il. 7, 102: νίκης πείρατ' ἔχονται ἐν ἀθανάτοισι θεοῖσιν, *The cords* (lit. = rope-ends) *of victory are in the holding of the immortal gods.* (Elsewhere in Homer πείρατα takes a singular verb.) *Ibid.* 16, 403–4· ἐκ δ' ἄρα χειρῶν | ἡνία ἠίχθησαν, *The reins leaped* (like a pair of living things).

103. NEUTER PLURAL SUBJECT WITH A DUAL VERB.—The neuter plural subject may take a dual verb when the subject comprises but two.

PLATO, Tim. 56 E: δύο πυρὸς σώματα εἰς ἓν ξυνίστασθον εἶδος ἀέρος, *Two corpuscles of fire combine into one figure of air.* Compare *ibid.* 56 D–E (124), where γενοίσθην is due to the neuter plural predicate δύο σώματα.

104. The singular, however, is the rule:

AESCHIN. 1, 116: δύο δέ μοι τῆς κατηγορίας εἴδη λέλειπται, *Two heads of the accusation are left me—I have two heads of the accusation left.*

On the use of the Neuter Plural Adjective Predicate for the Singular, see **37**.

105. DUAL SUBJECT WITH PLURAL VERB.—When the subject is of the dual number, but of the first person, the verb is

regularly of the plural number, for in the first person the dual and the plural forms of the verb coincide, the dual in *-μεθον* occurring but thrice in classic Greek, and being even then questioned by some scholars.

ἐπεδικασάμεθα ἄμφω, AND. 1, 120; *We laid our claims* (to the heiresses), *both of us.* **νὼ καταβάντε εἰς τὸ Νυμφῶν νᾶμα . . . ἠκούσαμεν λόγων, οἳ κτέ.,** PLATO, Phaedr. 278 B; *We both went down to the fount of the Nymphs and heard utterances, which etc.*

ANDOC. 1, 120 (see above).

PLATO, Phaedr. 278 B (see above).

106. When the dual subject is of the second or of the third person, the verb is occasionally in the plural.

δισσὼ γὰρ ἀστέρ' ἱππικοῖς ἐπὶ ζυγοῖς | σταθέντ' ἔκρυψαν ἅρμα λυγαίῳ νέφει, EUR Heracl. 854–5; *Twain stars atop the horses' yokes did perch | and hid the chariot with a murky cloud.*

PLATO, Phaedr. 256 C: *φίλω μὲν οὖν καὶ τούτω . . . ἀλλήλοιν διά τε τοῦ ἔρωτος καὶ ἔξω γενομένω διάγουσι.*

AR. Ach. 1216–7: *ἐμοῦ δέ γε σφὼ . . . ἄμφω . . . | προσλάβεσθ', ὦ φίλαι.*

EUR. Heracl. 854–5 (see above). Or. 1415: *ἔβαλον ἔβαλον . . . ἄμφω.* Cf. Phoen. 1423–4: *γαῖαν δ' ὀδὰξ ἑλόντες ἀλλήλων πέλας | πίπτουσιν ἄμφω κοὐ διώρισαν κράτος. Ibid.* 1454: *ἄμφω δ' ἅμ' ἐξέπνευσαν ἄθλιον βίον, Both at once breathed forth a wretched life.*

SOPH. Ant. 55–7: *τρίτον δ' ἀδελφὼ δύο μίαν καθ' ἡμέραν | αὐτοκτονοῦντε τὼ ταλαιπώρω μόρω | κοινὸν κατειργάσαντ' ἐπαλλήλοιν χεροῖν, And third (both) our twain brethren in one day self-murdering —the ill-fated pair—wrought out a common doom with mutual hands.*

HES. Sc. 233–4: *ἐπὶ δὲ ζώνῃσι δράκοντε | δοιὼ ἀπηωρεῦντ(ο).*

HOM. Od. 4, 20–2: *τὼ δ' αὖτ' ἐν προθύροισι δόμων . . . στῆσαν.*

Il. 1, 321: *τώ οἱ ἔσαν κήρυκε καὶ ὀτρηρὼ θεράποντε.* 16, 218: *δύ' ἀνέρε θωρήσσοντο, The two men 'gan to don their corselets.*

107. THE DUAL SUBJECT WITH A PLURAL PARTICIPIAL ATTRIBUTE (SEMI-PREDICATION).

PLATO, Euthyd. 273 D: *ἐγελασάτην οὖν ἄμφω βλέψαντες εἰς ἀλλήλους, Then they laughed, both of them, looking at one another.* Compare Phaedr. 259 A: *εἰ οὖν ἴδοιεν καὶ νὼ καθάπερ τοὺς πολλοὺς ἐν μεσημβρίᾳ μὴ διαλεγομένους, ἀλλὰ νυστάζοντας.*

108. DUAL GENITIVE ABSOLUTE WITH PLURAL PARTICIPLE.

DEM. 24, 9: *δικαστηρίοιν δυοῖν . . . ἐψηφισμένων.* [50], 20: *ἐπιτετριηραρχημένων ἤδη μοι δυοῖν μηνοῖν.*

109. Dual Subject and Plural Predicate Adjective.

Isoc. 12, 156: εἰ γάρ τις φαίη τὼ πόλει τούτω πλείστων ἀγαθῶν αἰτίας γεγενῆσθαι, *If any one should say that both these cities have been the authors of many blessings.* (The dual in *-a* does not occur in the orators, and is rare elsewhere[1]).

110. Dual Verb with Plural Subject.—The dual verb is used with the plural subject only when the dual notion is expressed or in some way suggested. Of the Attic orators only Antiphon, Andocides, Lysias, Isocrates, and Isaeus use dual forms of the finite verb.[2]

ἐξ ἧς αὐτῷ ἐγιγνέσθην υἱεῖς δύο, Isae. 8, 7; *Of whom there were born to him—by whom he had issue—two sons.*

Isae. 8, 7 (see above).

Lys. 13, 37: δύο δὲ τράπεζαι ἐν τῷ πρόσθεν τῶν τριάκοντα ἐκείσθην, *Two tables had been placed* (=*stood*) *in front of the Thirty.*

Plato, Rpb. 478 A–B: εἴπερ . . . δυνάμεις . . . ἀμφότεραί ἐστον.

Hom. Il. 4, 27: καμέτην δέ μοι ἵπποι. 9, 198: οἵ (Aias and Odysseus) μοι σκυζομένῳ περ Ἀχαιῶν φίλτατοί ἐστον. 23, 392–3. 417–8 = 446–7.

111. Even here the plural is the rule.

καὶ τὰς εἰσφορὰς εἰσενηνόχασιν ἀμφότεροι πάσας, Isae. 6, 60. δύο τρόποι τυγχάνουσιν ὄντες, Isoc. 7, 46; (*It so happens that*) *there are two methods.* λοιποὶ δύο μῆνες ἦσαν, Ant. 6, 42; *Two months were left.*

Dem. 23, 75: πᾶσίν εἰσι πράγμασι . . . δύο προσθῆκαι. 142: ἐν δὴ Λαμψάκῳ τινὲς ἄνθρωποι γίγνονται δύο. 180: ἠδίκηντο . . . οἱ δύο τῶν βασιλέων.

Isae. 2, 19: δύο γάρ εἰσιν αὐτῇ. 6, 60 (see above).

Isoc. 7, 46 (see above).

Ant. 6, 42 (see above).

112. The Plural Verb is found with a Participle in the Dual.

καὶ διαπραξαμένω τὸ λοιπὸν ἤδη χρῶνται μὲν αὐτῇ, σπανίᾳ δέ, Plato, Phaedr. 256 C; *And having effected their desire, they continue to enjoy it, but only rarely.*

Plato, Phaedr. 256 C (see above). Riv. 132 B: καὶ ἐγκλίσεις τινὰς ἐμιμοῦντο τοῖν χεροῖν ἐπικλίνοντε καὶ μάλ' ἐσπουδακότε.

Eur. Med. 969 ff.: ἀλλ' ὦ τέκν', εἰσελθόντε . . . ἱκετεύετ' ἐξαιτεῖσθε. Phoen. 1404 ff.: ἁρπάσαντε . . . ἦκον, συμβαλόντε δ' . . . ἀμφιβάντ' εἶχον.

[1] See Keck, Über den Dual bei den Griechischen Rednern, Würzburg, 1882, p. 14.

[2] For entire subject, see Hasse, Der Dualis im Attischen, Leipzig, 1893.

Hom. Il. 5, 487–8: *μή πως, ὡς ἀψῖσι λίνου ἁλόντε πανάγρου, | ἀνδράσι δυσμενέεσσιν ἕλωρ καὶ κύρμα γένησθε.* 16, 370–1: *πολλοὶ δ' ἐν τάφρῳ ἐρυσάρματες ὠκέες ἵπποι | ἄξαντ' ἐν πρώτῳ ῥυμῷ λίπον ἅρματ' ἀνάκτων.*

113. The Dual verb occurs with a complementary plural predicate participle.

κύκλους γοῦν γράφοντες ἐφαινέσθην, Plato, Riv. 132 A–B; *They were seen to be drawing circles.*

114. Of course the use of a Dual Predicate with a verb in the First Person Plural is not a violation of the rules of concord. See above 105.

ἐσμὲν δὲ μόνω ἐν ἐρημίᾳ, Plato, Phaedr. 236 C; *We are alone (just you and I)—all alone.*

115. Transition from a dual verb to a plural verb, or vice versa, takes place even within the limits of the same sentence.

ἔγημαν ... δύο ὄντε Μεδοντιάδα ... καὶ ξυνῳκείτην, Lys. fr. 4 (Scheibe). **καὶ ὅτε παιδία ἦστην καὶ εὐθὺς γενόμενοι ἠπίσταθ᾽ε;** Plato, Euthyd. 294 E. **ἵππους δ' Ἀτρεΐδαο κιχάνετε, μηδὲ λίπησθον,** Hom. Il. 23, 407.

116. Dual Number.—The dual number carries with it the notion of a pair, natural or artificial, and emphasizes the notion "both" rather than the notion "two." It goes back to the beginnings of Greek speech, but is not found to any great extent except in the language of the epos and in Attic. It is a stranger to Asiatic Aeolic, is absent from Herodotus, and even in Attic dies out towards the end of the fourth century, by which time it had become more or less literary and studied, as is shown by Plato's usage. The dual declines from Aristotle to Diodorus, and rises again after Christ, but it is limited to a few familiar nouns, and of dual verbs there is but a trace. See A. J. P. xiv (1893), 521.

117. Plural Subject and Singular Verb.—As the singular is the generic, and the plural the specific, a plural subject following a singular verb may be regarded as an afterthought. In Greek the oblique cases of **ἔστιν οἵ** are common, but **ἔστιν οἵ** itself is very rare, **εἰσὶν οἵ** being regularly used instead.

ἄκων δ' ἔστιν οὓς ἐγὼ ἐπαινῶ καὶ φιλῶ, Plato, Prot. 346 E; *There be those whom—there are some whom—I praise and love against my will.*

Plato, Prot. 346 E: **ἔστιν οὓς** (see above).

Xen. An. 1, 5, 7: **ἦν ... οὓς.** Cyr. 2, 3, 18: **ἔστιν οἵ.** Hell. 3, 1, 7: **ἦν δὲ**

ἄς. Mem. 1, 4, 2: ἔστιν οὕστινας; *Ibid.* 2, 3, 6: ἢ ἔστιν οἷς καὶ πάνυ ἀρέσκει; Vect. 3, 11: ἔστι δὲ ἃς . . . πόλεις.

THUC. 3, 92, 5: πλὴν Ἰώνων καὶ Ἀχαιῶν καὶ ἔστιν ὧν ἄλλων ἐθνῶν, *Except Ionians and Achaeans and other tribes that be.* 5, 25, 2: ἔστιν ἐν οἷς.

118. Σχῆμα Πινδαρικόν.—Outside of these phrases, the construction is commonly called the *σχῆμα Πινδαρικόν*, or Pindaric Figure, though the name is hardly justified by Pindar's usage. When the verb precedes, the genuine examples are to be explained on the principle given above, but many of the examples cited are to be accounted for on other grounds, and in many the reading is doubtful.[1]

ἦν δὲ τοῦ δανείσματος τετταράκοντα μὲν καὶ πέντε [μναῖ] ἐμαί, τάλαντον δ' Εὐέργου, DEM. 37, 4; *In the loan there was forty-five minae of mine and a talent of Euergus's.*

DEM. 37, 4 (see above).

AND. 1, 145: γεγένηται (?) (vid. Blass² ad loc.).

PLATO, Conv. 188 B: πάχναι καὶ χάλαζαι καὶ ἐρυσῖβαι . . . γίγνεται (all MSS.). Gorg. 500 D: εἰ ἔστι τούτω διττὼ τὼ βίω, *If the existence of these two different lives is accepted;* but see B. L. G. on PIND. O. 11 (10), 6. Legg. 732 E, ἔστι agrees with pred. (124). Rpb. 463 A: τί οὖν; ἔστι μέν που καὶ ἐν ταῖς ἄλλαις πόλεσιν ἄρχοντές τε καὶ δῆμος, ἔστι δὲ καὶ ἐν αὐτῇ; *There is such a thing as, etc.?* Theaet. 173 D, anacoluthon.

THUC. 2, 3, 3, ἅμαξαι is not the subject of ἵν' ἀντὶ τείχους ᾖ. 4, 26, 5: αἴτιον δὲ ἦν οἱ Λακεδαιμόνιοι προεπόντες. Here the sing. is due to attraction of predicate (see 124 and 126). 8, 9, 3 (see 124 and 126).

HDT. 1, 26: ἔστι δὲ . . . ἑπτὰ στάδιοι. 7, 34: ἔστι δὲ ἑπτὰ στάδιοι ἐξ Ἀβύδου ἐς τὴν ἀπαντίον, *It is seven stadia from Abydos to the opposite shore.*

AR. Vesp. 58 ff.: ἡμῖν γὰρ οὐκ ἔστ' οὔτε κάρυ' ἐκ φορμίδος | δούλω διαρριπτοῦντε τοῖς θεωμένοις, κτέ. *For we have no such thing as a brace of servants, etc.*

EUR. Bacch. 1350: αἰαῖ, δέδοκται, πρέσβυ, τλήμονες φυγαί, *It is decreed —decreed is bitter exile.* Hel. 1358–61: μέγα τοι δύναται νεβρῶν | παμποίκιλοι στολίδες | κισσοῦ τε στεφθεῖσα χλόα | νάρθηκας εἰς ἱερούς, *There is great virtue in, etc.*

PIND. See Gildersleeve, Pindar lxxxviii, and note on O. 11 (10), 6.

HOM. Il. 17, 385 sqq.: καμάτῳ δὲ καὶ ἰδρόι νωλεμὲς αἰεὶ | γούνατά τε κνῆμαί τε πόδες θ' ὑπένερθεν ἑκάστου | χεῖρές τ' ὀφθαλμοί τε παλάσσετο μαρναμένοισιν. (The emphatic position of γούνατα keeps it before the mind, and τε is treated as *cum* would be in Latin.)

[1] Compare B. L. G., Pindar lxxxviii, and R. S. Haydon, A. J. P. xi (1890), 182–192.

Special Exceptions

119. The natural relation may be preferred to the artificial, the nearer to the more remote. Hence:

120. NOUNS OF MULTITUDE.—Nouns of multitude often take the verb in the plural.

μέρος . . . τι . . . ἀνθρώπων . . . οὐχ ἡγοῦνται θεούς, PLATO, Legg. 948 C; *A portion of mankind do not believe in gods.*

PLATO, Legg. 948 C (see above).

XEN. Cyr. 2, 4, 20: *τὸ μὲν πλῆθος τῶν πεζῶν καὶ τῶν ἱππέων ὤγμευον αὐτῷ.* Hell. 3, 3, 4: *τοιαῦτα δὲ ἀκούσασα ἡ πόλις . . . Ἀγησίλαον εἵλοντο βασιλέα.*

THUC. 1, 89, 3. 125, 1. 4, 112, 3: *ὁ δὲ ἄλλος ὅμιλος κατὰ πάντα ὁμοίως ἐσκεδάννυντο, The rest of the multitude scattered in every direction alike.*

AESCHYL. Ag. 189: *εὖτ(ε) . . . βαρύνοντ' Ἀχαϊκὸς λεώς. Ibid.* 577–9: *Τροίαν ἑλόντες . . . Ἀργείων στόλος . . . λάφυρα . . . ἐπασσάλευσαν.*

PIND. P. 2, 46–7: *ἐκ δ' ἐγένοντο στρατὸς | θαυμαστός.*

HOM. Il. 2, 278: *ὣς φάσαν ἡ πληθύς.* 15, 304–5: *αὐτὰρ ὀπίσσω | ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο.* Cf. 17, 755–7: *ὥς τε ψαρῶν νέφος ἔρχεται ἠὲ κολοιῶν, | οὔλον κεκλήγοντες, ὅτε προΐδωσιν ἰόντα | κίρκον.* 23, 156–7: *Ἀτρεΐδη, σοὶ γάρ τε μάλιστά γε λαὸς Ἀχαιῶν | πείσονται μύθοισι.*

121. ORGANIZED NUMBER.—Organized number is singular. So δῆμος of the (official) people. The conception often shifts.

ὁ δῆμος δεσπότης ἦν καὶ κύριος πάντων, DEM. 3, 30; *The people was lord and master of all.* **ἡ δὲ βουλὴ . . . ὀλιγαρχίας ἐπεθύμει,** LYS. 13, 20; *The senate craved an oligarchy.*

DEM. 3, 30 (see above).

LYS. 13, 20 (see above). 35: *ὁ δὲ δῆμος . . . ἐψηφίσατο, et saepe.*

XEN. Hell. 1, 4, 12: *ἡμέρᾳ ᾗ Πλυντήρια ἦγεν ἡ πόλις, The day on which the city was celebrating the Plynteries. Ibid.* 1, 7, 3: *ἡ βουλὴ ἔδησε. Ibid.* 1, 7, 12: *τὸ δὲ πλῆθος ἐβόα δεινὸν εἶναι εἰ μή τις ἐάσει τὸν δῆμον πράττειν ὃ ἂν βούληται, The multitude cried out that it was an outrage if the commons were not to be permitted to do what they would.* (Here the πλῆθος claims to be the δῆμος.)

HDT. 1, 80: *ὡς ὤσφραντο τάχιστα τῶν καμήλων οἱ ἵπποι καὶ εἶδον αὐτάς, ὀπίσω ἀνέστρεφον, διέφθαρτό (lay shattered) τε τῷ Κροίσῳ ἡ ἐλπίς.* 4, 125: *ταραχθέντων . . . ταρασσομένων . . . τεταραγμένους.* 6, 108: *ἐδεδώκεσαν . . . ἔδοσαν . . . ἐδίδοσαν, They had given, they gave, they were for giving, offered.* 7, 193: *οἱ δὲ βάρβαροι, ὡς ἐπαύσατό τε ὁ ἄνεμος καὶ τὸ κῦμα ἔστρωτο, . . . ἔπλεον παρὰ τὴν ἤπειρον, The barbarians, as the wind ceased and the waves had become calm, went sailing along the mainland.*

HOM. Il. 7, 464–5: *ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον. | δύσετο δ' ἠέλιος, τετέλεστο δὲ ἔργον Ἀχαιῶν.*

Future Tense

265. The future denotes either continuance or attainment in the future, and is either *shall* or *will*.

ἕξω, *I will* or *shall have, I will* or *shall get.* **ἄρξω,** *I will* or *shall be ruler, I will* or *shall become ruler.*

LYCURG. 81 (Iusiur. ap.): οὐ ποιήσομαι περὶ πλείονος τὸ ζῆν τῆς ἐλευθερίας, *I will not value life more highly than freedom.*

LYS. 1, 36: οὐδεὶς αὐτῶν ἅψεται, *No one will touch them.*

PLATO, Apol. 29 E: οὐκ εὐθὺς ἀφήσω αὐτὸν οὐδ' ἄπειμι (*will*).

THUC. 1, 22. 4: ἀρκούντως ἕξει, *It will* (*shall*) *suffice.*

AR. Ach. 203: ἐγὼ δὲ φεύξομαί (*will*) γε τοὺς Ἀχαρνέας.

EUR. Bacch. 63: συμμετασχήσω (*will*) χορῶν. fr. 176: τίς γὰρ πετραῖον σκόπελον οὐτάζων δορὶ | ὀδύναισι δώσει (*will succeed in*, etc.);

PIND. O. 1, 37: σὲ δ' ἀντία προτέρων φθέγξομαι (*will*).

HOM. Od. 1, 88: αὐτὰρ ἐγὼν Ἰθάκηνδ' ἐσελεύσομαι.

Il. 1, 29: τὴν δ' ἐγὼ οὐ λύσω.

266. Owing to this indefiniteness of the future in regard to continuance and attainment, the Greek language has a tendency to use other forms of greater temporal exactness, such as the optative with ἄν and ἄν with the subjunctive. The Greek is very rich in expressions for the future.

267. MODAL NATURE OF THE FUTURE.—The future was originally a mood, and this original modal force is regularly retained in dependent clauses, with the exception of the identifying relative, where it serves to describe a definite person or thing. In the principal clauses, this modal force is more or less effaced, just as the force of the English auxiliaries *will* and *shall* is more or less effaced according to the person employed. At the same time, it must be remembered that whenever we translate the Greek future by *shall* or *will*, we make an analysis for which the Greek language is not responsible. The periphrasis that comes nearest to the modal future is μέλλω with the infinitive.

As the modal use of the future in dependent clauses is not treated in the following sections, a few illustrative examples are here given.

παῖδες δέ μοι οὔπω εἰσὶν οἵ με θεραπεύσουσι, LYS. 24, 6; *And I have as yet no children who shall nurse me* (= *to nurse me*). **οὐδὲ** (sc. πρέπει) **τοιαῦτα λέγειν ἐξ ὧν ὁ βίος μηδὲν ἐπιδώσει,** ISOC. 4, 189. **δεήσει δὲ καὶ τῶν ἄλλων βοσκημάτων παμπόλλων, εἴ τις αὐτὰ ἔδεται** (*is to eat them*), PLATO, Rpb. 373 C. **καὶ μὴν ἀνδρεῖόν γε** (sc. δεῖ ἑκάτερον εἶναι), **εἴπερ εὖ μαχεῖται** (*is to be a good fighter*), *Ibid.* 375 A. (Here **εἴπερ . . . μαχεῖται** is parallel with **ἐὰν δέῃ . . . διαμάχεσθαι** just preceding.)

On the Gnomic Future, see **257–8**.

For examples of the Future in the Apodosis of an Ideal Condition, see *Ideal Conditional Sentences.*

268. FUTURE IN DELIBERATIVE QUESTIONS.—The future indicative, like the subjunctive, may be used in questions which expect an imperative answer.

εἴπωμεν ἢ σιγῶμεν; ἢ τί δράσομεν; EUR. Ion, 758; *Shall we speak out or hold our peace? What shall we do?*

DEM. 4, 44: **ποῖ δὴ προσορμιούμεθ(α);** 8, 37: **τί ἐροῦμεν ἢ τί φήσομεν, ὦ ἄνδρες Ἀθηναῖοι; ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ.**

PLATO, Protag. 331 A: **τί οὖν, ὦ Πρωταγόρα, ἀποκρινούμεθα αὐτῷ;** *Ibid.* B: **τί αὐτῷ ἀποκρινούμεθα;**

AR. Ach. 312: **εἶτ' ἐγώ σου φείσομαι;**

EUR. Ion, 758 (see above).

PIND. O. 2, 2: **τίνα θεόν, τίν' ἥρωα, τίνα δ' ἄνδρα κελαδήσομεν;** (See B. L. G. *ad loc.*)

HOM. Il. 1, 123: **πῶς γάρ τοι δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί;**

269. IMPERATIVE USE OF THE FUTURE. — The future is sometimes used where an imperative might be expected. It is not a milder or gentler imperative.[1] A prediction may imply resistless power or cold indifference, compulsion or concession.

αὐτὸς γνώσει, PLATO, Gorg. 505 C; *That is a matter for you to determine.* **ὁ . . . ἄγγελος . . . ἐλθὼν ἐκεῖσε ὧδε λέξει,** XEN. Cyr. 3, 2, 29; *The messenger will go thither and hold the following discourse.*

ISAE. 2, 37: **ἀναγνώσεται.** (The speaker before court uses of the clerk **ἀνάγνωθι, ἀναγίγνωσκε, ἀναγνώσεται,** rarely **ἀναγνώτω**[2]) 4, 30: **τοῦτον . . . ἄλλος, ἐάν τις βούληται, τιμωρήσεται,** *Him another shall punish if he will.*

PLATO, Gorg. 505 C: **αὐτὸς γνώσει** (Schol.: **ἀντὶ τοῦ εἴ τι θέλεις, ποίει· ἐμοὶ γὰρ οὐ μέλει**). Phileb. 12 A: **σὺ δέ, Πρώταρχε, αὐτὸς γνώσει.** Rpb. 432 C: **καὶ ἐμοὶ φράσεις** (so the best MS), *And you will report to me.* Theaet. 143 B: **ὁ παῖς ἀναγνώσεται** (of a servant), but Phaedr. 262 D: **ἀνάγνωθι** (to a friend).

XEN. An. 1, 3, 5: **καὶ οὔποτε ἐρεῖ οὐδείς,** *And no one shall ever say.* Cyr. 3, 2, 29 (see above). 3, 3, 3: **ὑμεῖς ἐμὲ οὐ ποιήσετε μισθοῦ περιιόντα εὐεργε-**

[1] So Aken: "Die ruhige Behauptung kann weit stärker sein." See Hopkins, A. J. P. xiii (1892), 37. The N. T. **σὺ δὲ ὄψει,** "*See thou to that,*" seems to be an idiomatic colloquial expression rather than a Hebraism. The Latin use of the future as a familiar imperative, A. J. P. xviii (1897), 121, in the same class of words, lends strength to the imperative conception, which is denied by some scholars.

[2] C. W. E. Miller, A. J. P. xiii (1892), 408.

τεῖν, ἀλλὰ σύ, ὦ γύναι, ἔχουσα ταῦτα τὰ χρήματα ἃ φέρεις ἄπιθι, κτέ., *You are not to make of me a paid travelling philanthropist*, etc.

AR. Nub. 1352: πάντως δὲ τοῦτο δράσεις.

EUR. Med. 1320: λέγ' εἴ τι βούλει, χειρὶ δ' οὐ ψαύσεις ποτέ.

ION, Eleg. 2, 7–10 (Bgk.[4]): πίνωμεν, παίζωμεν· ἴτω . . . ὀρχείσθω . . . ἄρχε . . . κεῖνος . . . πίεται (Meineke πιέτω).

SOPH. Ph. 843: τάδε μὲν θεὸς ὄψεται.

HOM. Od. 1, 123–4: αὐτὰρ ἔπειτα | δείπνου πασσάμενος μυθήσεαι, ὅττεό σε χρή.

This "jussive" use of the future is denied for Homer by Paech.[1] In many of the passages once cited, the so-called future has been shown to be an aorist imperative and others have been explained away.

270. μή AND THE FUTURE INDICATIVE IN PROHIBITIONS.—The use of the future as an imperative with μή is rare and hardly sure. In Attic prose it rests on just two passages, both suspicious, both open to emendation, LYS. 29, 13 and DEM. 23, 117, on which see A. J. P. XV (1894), 117 f. In XEN. Hell. 2, 1, 22: προεῖπεν ὡς μηδεὶς κινήσοιτο, ὡς = ὅπως, and the oratio recta was ὅπως μηδεὶς κινήσεται. In AR. Pl. 488, μαλακόν τ' ἐνδώσετε μηδέν belongs to the relative complex ᾧ νικήσετε τηνδί. In SOPH. Ai. 572–3, ὅπως precedes. In HOM. Il. 10, 238, ὀπάσσεαι is subjunctive, and in Il. 13, 47, σαώσετε is imperative. The jussive future has οὐ.

On οὐ μή with the Future, see *Negatives*.

271. οὐ WITH FUTURE INDICATIVE IN QUESTIONS AS IMPERATIVE.—In questions, the future indicative with οὐ is often used as an imperative.

οὐκ ἀποκτενεῖτ(ε) . . . τὸν μιαρὸν τοῦτον ἄνθρωπον; DIN. 1, 18; *Will you not kill this foul creature?*

DIN. 1, 18 (see above).

DEM. 4, 44: οὐκ ἐμβησόμεθ(α); 21, 116: "οὐκ ἀποκτενεῖτε; οὐκ ἐπὶ τὴν οἰκίαν βαδιεῖσθε; οὐχὶ συλλήψεσθε;"

PLATO, Conv. 212 D: παῖδες, . . . οὐ σκέψεσθε; *Boys, will you not see who it is?*

AR. Lys. 459–60: οὐχ ἕλξετ', οὐ παιήσετ', οὐκ ἀρήξετε; | οὐ λοιδορήσετ', οὐκ ἀναισχυντήσετε;

EUR. Ion, 162–3: οὐκ ἄλλᾳ | φοινικοφαῆ πόδα κινήσεις;

AESCHYL. P. V. 52: οὔκουν ἐπείξῃ τῷδε δεσμὰ περιβαλεῖν;

On οὐ μή with the Future Indicative in questions, see *Negatives*.

[1] Joh. Paech, Ueber den Gebrauch des Indicativus Futuri als Modus iussivus bei Homer, Breslau, 1865.

272. PERIPHRASTIC FUTURE WITH μέλλω.—In very common use is the periphrastic future with μέλλω, *I am thinking* (compare the use of *penser* in Fr.), *I expect*, *I am about*, *I am* (*destined*) *to*. As a verb of thinking, μέλλω takes the typical future, but also the present, seldom the aorist and then to make a special point. Whatever difference there may have originally been between the present and the future, has been abraded. Sometimes there seems to be a conscious interval with the future, but the distinction vanishes and authors vary.

The imperfect of the μέλλω-periphrastic may be called the future of the past, and it plays an important part in a large class of sentences.

273. μέλλω *with the Future Infinitive:*

μέλλετε τὴν ψῆφον οἴσειν, ANDOC. 1, 2; *You are about to cast your vote.*

ISAE. 7, 30: πάντες γὰρ οἱ τελευτήσειν μέλλοντες πρόνοιαν ποιοῦνται σφῶν αὐτῶν.

LYS. 3, 32 (215). 34 (215). 13, 37 (215). 19, 38: ὃ μὴ γένοιτο, εἰ μή τι μέλλει μέγα ἀγαθὸν ἔσεσθαι τῇ πόλει.

ANDOC. 1, 2 (see above). *Ibid.* 21: ὅπου [ἂν] ἔμελλεν αὐτὸς σωθήσεσθαι ἐμέ τε οὐκ ἀπολεῖν.

ANTIPHON, 6, 36: ῥᾳδίως ἔμελλον ἀποφεύξεσθαι καὶ δίκην οὐ δώσειν.

PLATO, Apol. 21 B: μέλλω . . . ὑμᾶς διδάξειν. Crat. 418 B (215). Phaedr. 228 C (215).

XEN. Cyr. 3, 1, 1 (215).

THUC. 1, 130, 1 (215). 3, 115, 5 (215).

HDT. 2, 43 (215). 7, 8, β): μέλλω ζεύξας τὸν Ἑλλήσποντον ἐλᾶν στρατὸν . . . ἐπὶ τὴν Ἑλλάδα.

AR. Thesm. 181: μέλλουσί μ' αἱ γυναῖκες ἀπολεῖν τήμερον. Eccl. 597 (215).

SOPH. El. 379–80: μέλλουσι γάρ σ', εἰ τῶνδε μὴ λήξεις γόων, | ἐνταῦθα πέμψειν ἔνθα κτέ. O. R. 967 (215).

HES. Theog. 468–9: ἔμελλε . . . τέξεσθαι (215).

HOM. Od. 6, 135–6: Ὀδυσεὺς κούρῃσιν . . . ἔμελλεν | μίξεσθαι γυμνός περ ἐών. 7, 270 (215).

Il. 6, 52–3 (215). 515–6: ἔμελλεν | στρέψεσθ' ἐκ χώρης.

274. μέλλω *with the Present Infinitive:*

οὗτος, τί δράσεις; τῷ πτίλῳ μέλλεις ἐμεῖν; AR. Ach 587; *Ho! fellow! What are you going to do? Are you going to give yourself a vomit with the feather?* (Here the future and the periphrasis are parallel.)

Lys. 13, 88: μέλλειν λέγειν. 19, 23: μέλλοντα πλεῖν, *On the point of sailing*. 24, 15: μέλλων ἀληθῆ λέγειν.

Antiphon, 1, 15: ἀδικεῖσθαι ἔμελλεν. *Ibid.* 16: εἰς Νάξον πλεῖν ἔμελλεν.

Plato, Phaedo, 59 A: αὐτίκα . . . ἔμελλε τελευτᾶν. Phaedr. 242 B: ἔμελλον . . . τὸν ποταμὸν διαβαίνειν.

Xen. An. 1, 8, 1 (**215**).

Ar. Ach. 493: ἅπασι μέλλεις εἰς λέγειν τἀναντία (the future is not favored by the iambic metre). Eq. 267 (**215**).

Eur. fr. 459: κέρδη τοιαῦτα χρή τινα κτᾶσθαι βροτῶν, | ἐφ' οἷσι μέλλει μήποθ' ὕστερον στένειν.

Soph. Tr. 756–7: μέλλοντι δ' αὐτῷ . . . τεύχειν σφαγὰς | κῆρυξ . . . ἵκετ(ο).

Pind. O. 8, 63–4: ἄνδρα . . . μέλλοντα ποθεινοτάταν δόξαν φέρειν (in prose τὸν . . . οἴσοντα).

Hom. Od. 9, 475–6 (**215**).

Il. 10, 454–5: ὁ μέν μιν ἔμελλε . . . λίσσεσθαι.

275. μέλλω *with the Present and the Future Infinitive:*

Dem. 21, 55: ἐστεφανώμεθα, ὁμοίως ὅ τε μέλλων νικᾶν καὶ ὁ πάντων ὕστατος γενήσεσθαι.

Plato, Conv. 198 B: πῶς . . . οὐ μέλλω ἀπορεῖν . . . μέλλων λέξειν; Politic. 295 C: ἰατρὸν μέλλοντα . . . ἀποδημεῖν (*on the point of going abroad*) καὶ ἀπέσεσθαι τῶν θεραπευομένων συχνὸν . . . χρόνον (*and expecting to be absent from his patients a long time*).

276. μέλλω *with the Aorist Infinitive:*

τοῦτο τοίνυν . . . ἡμῖν ποιητέον, εἰ μὴ μέλλομεν ἐπὶ τῷ τέλει καταισχῦναι τὸν λόγον, Plato, Politic. 268 D; *This is what we must do, if we are not to bring dishonor on our discussion at the* (*very*) *last.*

Antiphon, 1, 14: ἐπὶ πορνεῖον ἔμελλε καταστῆσαι (once out of 20 times).

Plato, Politic. 268 D (see above). *Ibid.* 291 C: εἰ μέλλομεν ἰδεῖν ἐναργῶς τὸ ζητούμενον.

Eur. Ion, 760: εἰρήσεταί τοι κεἰ θανεῖν μέλλω διπλῆ (**282**). Or. 292–3: εἰ μήτ' ἐκεῖνος ἀναλαβεῖν ἔμελλε φῶς, | ἐγώ θ' ὁ τλήμων τοιάδ' ἐμπλήσειν κακά (aorist and future side by side).

Aeschyl. P. V. 625: ὅπερ μέλλω παθεῖν.

Pind. O. 7, 61: μέλλεν θέμεν (**215**). 8, 32: μέλλοντες . . . τεῦξαι. P. 9, 52–3: μέλλεις . . . ἐνεῖκαι.

Hes. Theog. 478: ἤμελλε τεκέσθαι, but *ibid.* 468–9: ἔμελλε . . . τέξεσθαι.

Hom. Il. 23, 773: ἔμελλον ἐπαΐξασθαι. (So La Roche with the better MSS. Cauer reads ἐπαΐξεσθαι.)

277. μέλλω, I POSTPONE.—μέλλω, *I postpone*, takes regularly the present infinitive (resistance to pressure), rarely the aorist infinitive.

Present Infinitive:

ἔτι μέλλομεν ἀμύνεσθαι, THUC. 6, 10, 5; *We are still delaying to punish.*

THUC. 1, 86, 2: *τοὺς ξυμμάχους . . . οὐ περιοψόμεθα ἀδικουμένους οὐδὲ μελλήσομεν τιμωρεῖν.* 1, 124, 1 (278). 6, 10, 5 (see above).

EUR. Phoen. 299 (see 278).

SOPH. O. C. 1627–8: *τί μέλλομεν | χωρεῖν, Why delay we to go?*

278. *Aorist Infinitive:*

μὴ μέλλετε Ποτειδαιάταις τε ποιεῖσθαι τιμωρίαν . . . καὶ τῶν ἄλλων μετελθεῖν τὴν ἐλευθερίαν (present and aorist), THUC. 1, 124, 1.

THUC. 1, 124, 1 (see above).

EUR. Phoen. 299–300: *τί μέλλεις ὑπώροφα μέλαθρα περᾶν, | θιγεῖν τ' ὠλέναις τέκνου* (present and aorist); [Rhes.] 673–4: *τί μέλλετε | σκηπτοῦ 'πιόντος πολεμίων σῶσαι βίον;* (So the MSS, but Nauck follows Elmsley in reading *σῴζειν.*)

Future Perfect Tense

279. The future perfect is the perfect transferred to the future.

280. FUTURE PERFECT ACTIVE.—The future perfect active is found chiefly in the periphrastic form, where it has the full perfect force. The simple form is found only in a few verbs in which the perfect is used as a present: τεθνήξω, *I shall be dead;* ἑστήξω, *I shall stand.*

ἂν ταῦτ' εἰδῶμεν, καὶ τὰ δέοντ' ἐσόμεθ' ἐγνωκότες καὶ λόγων ματαίων ἀπηλλαγμένοι, DEM. 4, 50. πῶς οὖν εὔορκα ἀντομωμοκὼς ἔσται φάσκων εὖ εἰδέναι; ANTIPHON, 1, 8. ἆρ' οὖν τὸν ἀεὶ χρόνον μεμαθηκυῖα ἔσται ἡ ψυχὴ αὐτοῦ; PLATO, Meno, 86 A (future ascertainment). τεθνήξεις, AR. Vesp. 654; *You will be a dead man.* ἑστήξω παρ' αὐτόν, *Ibid.* Lys. 634; *I will stand by his side.*

281. FUTURE PERFECT MIDDLE USED PASSIVELY.—Of more frequent use is the future perfect middle, which is chiefly used passively. The dramatists incline to the tense on account of its impatience of anything except entire fulfilment. Neither suddenness nor certainty lies in the form.

μαστιγώσεται, στρεβλώσεται, δεδήσεται, PLATO, Rpb. 361 E; *He shall be scourged, tortured, kept in prison* (δεθήσεται, *shall be put in prison*).

DEM. 14, 2: πᾶς ὁ παρὼν φόβος λελύσεται, *All the present fear will be finally dispelled.* 19, 74: ταῦτα πεπράξεσθαι (sc. ἔφη) δυοῖν ἢ τριῶν ἡμερῶν.

ANTIPHON, 5, 75: ὅμως δ' οὖν κεκινδυνεύσεται.

PLATO, Rpb. 361 E (see above). Theaet. 180 A: κἂν τούτου ζητῇς λόγον λαβεῖν, τί εἴρηκεν, ἑτέρῳ πεπλήξει καινῶς μετωνομασμένῳ.

THUC. 3, 39, 8: ἡμῖν δὲ . . . ἀποκεκινδυνεύσεται τά τε χρήματα καὶ αἱ ψυχαί.

HDT. 6, 9: οὐδέ σφι οὔτε τὰ ἱρὰ οὔτε τὰ ἴδια ἐμπεπρήσεται.

AR. Eq. 1370–1: οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται, | ἀλλ' ὥσπερ ἦν τὸ πρῶτον ἐγγεγράψεται (*will stay enrolled*). Pax, 246: ὡς ἐπιτετρίψεσθ' αὐτίκα.

EUR. Bacch. 1313: νῦν δ' ἐκ δόμων ἄτιμος ἐκβεβλήσομαι. Hippol. 894: δυοῖν δὲ μοίραιν θατέρᾳ πεπλήξεται. Or. 271–2: βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί, | εἰ μὴ 'ξαμείψει χωρὶς ὀμμάτων ἐμῶν.

SOPH. Ai. 577: τὰ δ' ἄλλα τεύχη κοίν' ἐμοὶ τεθάψεται. *Ibid.* 1140–1: ΜΕ. ἓν σοι φράσω· τόνδ' ἐστὶν οὐχὶ θαπτέον. | ΤΕΥ. ἀλλ' ἀντακούσῃ τοῦτον ὡς τεθάψεται.[1]

ANACR. 77: εὖτέ μοι λευκαὶ μελαίναις ἀναμεμίξονται τρίχες.

HOM. Il. 1, 139: ὁ δέ κεν κεχολώσεται, ὅν κεν ἵκωμαι, and similarly 5, 421; 762; and 23, 543. 21, 585: ἦ τ' ἔτι πολλὰ τετεύξεται ἄλγε' ἐπ' αὐτῇ.

282. FUTURE PERFECT IN AN IMPERATIVE SENSE.—The future perfect, like the future, may be used in a quasi-imperative sense.

τὰ δ' ἄλλα τεύχη κοίν' ἐμοὶ τεθάψεται, SOPH. Ai. 577; *My other arms shall in a common tomb with me lie buried* (**281**).

DIN. 1, 10: εἰρήσεται γὰρ ἃ γιγνώσκω, *I must say what I think.*

DEM. [44], 4: εἰρήσεται γάρ, *It shall be said* (*the truth must out*).

ISOC. 7, 76: εἰρήσεται γὰρ τἀληθές, and similarly 12, 225; 15, 177 and *ibid.* 243.

ANDOC. 1, 72: ἀλλὰ γὰρ τἀληθῆ εἰρήσεται.

PLATO, Rpb. 457 B: κάλλιστα γὰρ δὴ τοῦτο καὶ λέγεται καὶ λελέξεται ὅτι τὸ μὲν ὠφέλιμον καλόν, τὸ δὲ βλαβερὸν αἰσχρόν.

EUR. I. T. 1464: οὗ καὶ τεθάψῃ κατθανοῦσα. Ion, 760: εἰρήσεταί τοι κεἰ θανεῖν μέλλω διπλῇ.

SOPH. Ai. 577 (see above). 1140–1 (see **281**).

283. FUTURE PERFECT USED AS A FUTURE. — Of course, when the perfect is predominantly present, the future perfect is a simple future and the middle may have an active meaning.

[1] *Metri causa* cannot be invoked in any of the above examples from tragedy. See A. J. P. xvii (1896), 518.

σὲ δ' ἄλλη τις γυνὴ κεκτήσεται, EUR. Alc. 181; *But thee some other woman will possess.* ἑστήξω παρ' αὐτόν, AR. Lys. 634; *I will stand by his side* (280).

EUR. Alc. 181 (see above).

AR. Lys. 634 (see above).

HOM. Il. 5, 238: τόνδε δ' ἐγὼν ἐπιόντα δεδέξομαι ὀξέι δουρί. 22, 390: αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ' ἑταίρου.

284. PERIPHRASTIC FUTURE PERFECT MIDDLE. — The periphrastic future perfect may be middle.

ἐν ᾧ μέλλει ἐκεῖνος Ὄλυνθον καταστρέφεσθαι, σὺ κατεστραμμένος ἔσει Θήβας, XEN. Hell. 5, 2, 27; *While he is thinking about overthrowing Olynthus, you will have overthrown Thebes.*

ANDOC. 1, 72: πείσας δέ (sc. ὑμᾶς), ὑπὲρ τῶν ἐχθρῶν ἀπολελογημένος ἔσομαι.

XEN. Hell. 5, 2, 27 (see above).

Periphrastic Tenses

285. The Greek language has ample facilities for a large number of periphrastic tenses. With its many participles and its various auxiliaries, the possible combinations are almost inexhaustible, while the existing combinations show at once the resources and the moderation of the language. Few languages capable of ἔμελλε οὐ τὸ δεύτερον διαφυγὼν ἔσεσθαι (HDT. 7, 194), and of ἔμελλε . . . ἔσεσθαι δεδωκώς (PS.-DEM. 52, 24), would have shown such self-restraint.

286. PERIPHRASES WITH THE PERFECT PARTICIPLE. — Most common are the periphrases with the perfect participle, which has more of an adjectival character than the others. Theoretically these periphrases ought to emphasize the maintenance of the result.[1] But it must be remembered that many middle and passive verbs regularly use the periphrasis in the third person plural, and that the periphrastic form is almost the only form employed in the subjunctive and optative,[2] so that a certain indifference is bred thereby. ἐφθαρμένοι εἰσί is the regular form, and not ἐφθάρται, which is old-fashioned (THUC.

[1] W. J. Alexander, A. J. P. iv (1883), 307–8.

[2] M. Beyer, de perfecti apud Herodotum usu syntactico, Vratislaviae, 1868.

3, 13, 3). ἐκπεφευγὼς εἴην is the rule, not ἐκπεφευγοίην (SOPH. O. R. 840). λέλοιπε becomes in *oratio obliqua* λελοιπὼς εἴη (XEN. An. 1, 2, 21). Still, much depends on the position of the copula, much on the context and on the character of the verbs.

DEM. 19, 336: τὴν ἄλλως ἐνταῦθ' ἐπαρεῖ τὴν φωνὴν καὶ πεφωνασκηκὼς ἔσται. [48], 16: ἔφη εἶναι παρ' ἑαυτῷ ὅσον μὴ ἦν ἀνηλωμένον.

ISOC. 12, 233: εὐθὺς ... προειρηκὼς ... ἦν αὐτοῖς ἐφ' ἃ συνεληλυθότες ἦσαν, ἀνέγνωστο δ' ὁ λόγος, ἐπῃνημένος δ' ἦν κτέ. (236).

PLATO, Conv. 191 E: μᾶλλον πρὸς τὰς γυναῖκας τετραμμέναι εἰσί. Euthyd. 280 C: τέκτων εἰ παρεσκευασμένος εἴη ... ξύλα ἱκανά, τεκταίνοιτο δὲ μή, ἔσθ' ὅ τι ὠφελοῖτ' ἂν ἀπὸ τῆς κτήσεως; Legg. 814 B: οὕτως αἰσχρῶς τὰς γυναῖκας εἶναι τεθραμμένας. Rpb. 601 D: πρὸς ἣν ἂν ἕκαστον ᾖ πεποιημένον ἢ πεφυκός. Soph. 218 A: πᾶσι κεχαρισμένος (=adj. *gratus*) ἔσει. (Compare Gorg. 502 B: ἐάν τι αὐτοῖς ἡδὺ ... ᾖ καὶ κεχαρισμένον.)

XEN. Hell. 1, 1, 11: πυθόμενος δὲ ὅτι αἱ τῶν Πελοποννησίων νῆες ἐξ Ἀβύδου ἀνηγμέναι εἶεν εἰς Κύζικον ... ἦλθεν εἰς Σηστόν.

AR. Pl. 867–8: πολὺ μᾶλλον ἐνίους ἐστὶν ἐξολωλεκώς. | ΚΑΡ. καὶ τίνα δέδρακε δῆτα τοῦτ(ο); But Av. 655: ἔσεσθον ἐπτερωμένω, ἐπτερωμένω is almost an adjective and Ran. 433: ξένω γάρ ἐσμεν ἀρτίως ἀφιγμένω, ἐσμεν belongs to ξένω.

SOPH. Ai. 740: τί δ' ἐστὶ χρείας τῆσδ' ὑπεσπανισμένον (=ἐλλιπές);

HOM. Od. 2, 187: τὸ δὲ καὶ τετελεσμένον ἔσται, and so 17, 229; 18, 82; 19, 487; Il. 1, 212; 2, 257; 8, 401; 23, 672. But Od. 5, 89–90: τελέσαι δέ με θυμὸς ἄνωγεν, | εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστίν, where τετελεσμένον = τελεστόν = δυνατὸν γενέσθαι (Paraphrast), and so Il. 14, 195–6; 18, 426–7. Od. 8, 454: τὸ δέ κεν τετελεσμένον ἦεν.

Il. 3, 309: πεπρωμένον ἐστίν. 5, 873: αἰεί τοι ῥίγιστα θεοὶ τετληότες εἰμέν.

287. The force of the copula εἰμί, however, revives under slight pressure. So under emphatic position or correlation.

ἦσαν ἔκ τε Αἴνου βεβοηθηκότες, THUC. 4, 28, 4; *They had actually come to their help from Aenos.* **ἦν ... οὐδὲν πεπονθώς,** XEN. An. 6, 1, 6.

288. PERFECT PARTICIPLE WITH **εἴην ἄν.**—Especially worthy of note is the periphrasis of the perfect participle with the optative εἴην and ἄν. This periphrasis gives the opinion of the speaker as to the future ascertainment of a completed action, which action may lie either in the past or in the future of the speaker.

οὐκ ἄτοπον ... ἂν πεποιηκότες ὑμεῖς εἴητε, εἰ ... τοῦτον ἀφείητ(ε); DEM. 19, 71; *Would you not prove to have done an absurd thing, if you were to*

acquit this fellow (future)? **τέχναι ὅσαιπερ σιδήρου δέονται . . . ἠφανισμέναι ἂν εἶεν,** PLATO, Legg. 678 E; *All the arts that require the use of iron must have disappeared* (past).

DEM. 19, 71 (see above). 30, 10: *οὐκ ἂν διὰ τοῦτό γ' εἶεν οὐκ εὐθὺς δεδωκότες.* 39, 15: *εἴ τις δίκην ἐξούλης αὐτῷ λαχὼν μηδὲν ἐμοὶ φαίη πρὸς αὐτὸν εἶναι, κυρίαν δὲ ποιησάμενος ἐγγράψαι, τί μᾶλλον ἂν εἴη τοῦτον ἢ ἔμ' ἐγγεγραφώς;*

ISOC. 12, 130: *οὐκ ἔχω τίνας ἐπαίνους εἰπὼν ἀξίους ἂν εἴην εἰρηκὼς τῆς ἐκείνων διανοίας.*

LYS. 1, 2: *καὶ ταῦτα οὐκ ἂν εἴη μόνον παρ' ὑμῖν οὕτως ἐγνωσμένα, ἀλλ' ἐν ἁπάσῃ τῇ Ἑλλάδι.* 31, 4: *εἰρηκὼς ἂν εἴην,* (*In that case*) *I should prove to have spoken.*

PLATO, Charm. 157 C: *ἔρμαιον . . . γεγονὸς ἂν εἴη ἡ τῆς κεφαλῆς ἀσθένεια τῷ νεανίσκῳ, εἰ ἀναγκασθήσεται καὶ τὴν διάνοιαν διὰ τὴν κεφαλὴν βελτίων γενέσθαι.* Legg. 670 E. 678 E. 696 D. 753 E. 782 A. 800 A. 880 E. 892 A. 896 C. *Ibid.* D. 907 C: *καλῶς ἡμῖν εἰρημένον ἂν εἴη τὸ προοίμιον, Our introduction must have been a good thing.* Meno, 85 D. Phaedr. 262 D. 263 C.

XEN. Cyr. 1, 2, 13: *ἐπειδὰν . . . τὰ πέντε καὶ εἴκοσιν ἔτη διατελέσωσιν, εἶησαν . . . ἂν οὗτοι πλεῖόν τι γεγονότες ἢ τὰ πεντήκοντα ἔτη ἀπὸ γενεᾶς.*

EUR. Hipp. 349: *ἡμεῖς ἂν εἶμεν θατέρῳ κεχρημένοι* (**306**).

289. PERFECT PARTICIPLE PARALLEL WITH AN ADJECTIVE. — The adjectival character of the perfect participle is not infrequently shown by parallelism with the adjective.

οὕτως ἐστὶν ἀνόητος καὶ παντάπασιν ὑμῶν καταπεφρονηκώς, LYCURG. 68.

LYCURG. 68 (see above).

LYS. 14, 2: *οὐ γὰρ μικρὰ τὰ ἁμαρτήματα . . . ἀλλ' οὕτω πεπραγμένα καὶ εἰς τοσοῦτο κακίας ἀφιγμένα.*

290. PERFECT PARTICIPLE AS PREDICATE OF THE PARTICIPLE OF εἰμί. — Even the perfect participle, however, is seldom so purely adjectival as to suffer combination with the participle of εἰμί.

οὐκ εἰωθὸς ὄν, EUR. Hec. 358.

AR. Ran. 721: *τούτοισιν οὖσιν* (where Meineke reads *τούτοισι τοῖσιν*) *οὐ κεκιβδηλευμένοις.*

EUR. Hec. 358 (see above).

291. PERIPHRASIS WITH THE PRESENT PARTICIPLE. — On the periphrasis with the present participle see **191**. To the examples with the present auxiliary, add the following with other tenses.

ISAE. 3, 65: *εἰ ἦν γνησία θυγάτηρ ἐκείνῳ καταλειπομένη. Ibid.* 72: *εἰ ἦν γνησία θυγάτηρ τῷ ἡμετέρῳ θείῳ καταλειπομένη.*

ISOC. 5, 110: *μίαν . . . πρᾶξιν . . . ἥπερ ἦν προσήκουσα μὲν καὶ πρέπουσα . . ., τὸν δὲ καιρὸν ἔχουσα μάλιστα σύμμετρον, One action, which was suitable and becoming and admirably opportune.*

LYS. 13, 39: *μεταπέμπονται εἰς τὸ δεσμωτήριον ὁ μὲν ἀδελφήν, ὁ δὲ μητέρα, ὁ δὲ γυναῖκα, ὁ δ' ἥ τις ἦν ἑκάστῳ αὐτῶν προσήκουσα.*

ANTIPHON, 2 γ 3: *ἀρκοῦσα ἦν.* 5, 18: *ἦν τοῦτο συμφέρον.*

THUC. 2, 67, 1: *οὗ ἦν* (*there lay*) *στράτευμα τῶν Ἀθηναίων πολιορκοῦν* (not periphrastic). 3, 2, 2: *ἃ μεταπεμπόμενοι ἦσαν* (Cobet: *μεταπεπεμμένοι*).

PIND. P. 6, 28–9: *ἔγεντο καὶ πρότερον Ἀντίλοχος βιατὰς | νόημα τοῦτο φέρων* (*an upholder of this spirit*).

292. *Present Participle parallel with an Adjective:*

ῥᾳθυμότατοι ἔσεσθε καὶ ἥκιστα ἐπὶ τοῖς δεινοῖς ὀργιζόμενοι, LYCURG. 27; *You will be most easy-going and least resentful of outrages.*

LYCURG. 27 (see above).

DEM. 3, 25: *σώφρονες ἦσαν καὶ σφόδρ' ἐν τῷ τῆς πολιτείας ἤθει μένοντες.* [35], 46: *βδελυρός τίς ἐστι καὶ ὑπερβάλλων ἅπαντας ἀνθρώπους τῷ πονηρὸς εἶναι.*

LYS. 14, 2: *οὐ γὰρ μικρὰ τὰ ἁμαρτήματα οὐδὲ συγγνώμης ἄξια, οὐδ' ἐλπίδα παρέχοντα ὡς κτέ.*

PLATO, Alc. II, 138 D: *εἰσί τινες . . . ἄφρονές τε καὶ φρόνιμοι, καὶ μαινόμενοι ἕτεροι.*

293. PERIPHRASES WITH THE AORIST PARTICIPLE. — Periphrases with the aorist participle are rare. In most instances the aorist may be regarded as the short-hand of the perfect, or as a manner of characterizing adjective or quasi-substantive. Here and there, however, there seems to be an effort to evolve a more exact aoristic future.

ἦσαν δέ τινες καὶ γενόμενοι τῷ Νικίᾳ λόγοι πρότερον, THUC. 4, 54, 3; *Conferences had actually been held with Nikias even before.* **ἔφραζον ὥς σφι θεὸς εἴη φανείς,** HDT. 3, 27; *They set forth how a god had actually appeared to them.*

DEM. [52], 9: *ὁ Λύκων τυγχάνει ὢν καὶ ἄπαις καὶ κληρονόμον οὐδένα οἴκοι καταλιπών.*[1]

LYS. [2], 13: *οὐκ εἰδότες ὁποῖοί τινες ἄνδρες ἔσονται γενόμενοι* (= *ἐπειδὴ ἄνδρες γένοιντο*). [20], 1: *οἱ μὲν* (*some*) *γὰρ ἐπιβουλεύσαντες ἦσαν αὐτῶν* (*ἦσαν αὐτῶν* is probably *belonged to their number*).

ANTIPHON, 2 γ 8: *οὗτος ἂν καὶ οὐδεὶς ἕτερος ἀποκτείνας αὐτὸν εἴη, This man and no other must have been his murderer.* (*ὁ ἀποκτείνας* would be more natural.) Similarly 3 δ 4 and 5.

PLATO, Legg. 961 B–C: *τοιοῦτόν τί που λεχθὲν ἡμῖν ἦν ἐν τοῖς ἔμπροσθεν*

[1] See A. J. P. xii (1891), 79.

λόγοις; (Phileb. 64 B: ᾧ μὴ μίξωμεν ἀλήθειαν οὐκ ἄν ποτε τοῦτο ἀληθῶς γίγνοιτο οὐδ' ἂν γενόμενον εἴη is not to be counted. οὐδ' ἂν γενόμενον εἴη = οὐδ' ἂν εἴη εἰ γένοιτο. In like manner analyze Legg. 739 E.) Politic. 265 D: ταῦτ' ἔστω ταύτῃ λεχθέντα. Soph. 217 C: μὴ . . . ἀπαρνηθεὶς γένῃ.[1]

Xen. An. 7, 6, 36: ἦν δὲ ποιήσητε . . . κατακανόντες (Dindorf κατακεκονότες) ἔσεσθε. The reading κατακανόντες is favored by the coincidence of action.)

Thuc. 4, 54, 3 (see above).

Hdt. 2, 10: ἔργα ἀποδεξάμενοι μεγάλα εἰσί. 3, 27 (see above). 5, 69: ἦν . . . τὸν δῆμον προσθέμενος πολλῷ κατύπερθε τῶν ἀντιστασιωτέων, *It was true that he had gained over the commons far beyond his rival.* 7, 206: ἦν γὰρ κατὰ τὠυτὸ Ὀλυμπιὰς τούτοισι τοῖσι πρήγμασι συμπεσοῦσα (= σύγχρονος).

Eur. Suppl. 511: ἐξαρκέσας ἦν Ζεὺς ὁ τιμωρούμενος.

Soph. Ai. 588: μὴ προδοὺς ἡμᾶς γένῃ (*prove traitor*). Ant. 1067: νέκυν νεκρῶν ἀμοιβὸν ἀντιδοὺς ἔσει. O. C. 816: ἦ μὴν σὺ κἄνευ τοῦδε λυπηθεὶς ἔσει. O. R. 89–90: οὔτε γὰρ θρασὺς | οὔτ' οὖν προδείσας εἰμὶ τῷ γε νῦν λόγῳ. 970: οὕτω δ' ἂν θανὼν εἴη 'ξ ἐμοῦ (parallel with the periphrastic perfect optative with ἄν, θανών being practically the perfect of θνήσκω). Ph. 772–3: μὴ σαυτὸν θ' ἅμα | κἄμ' . . . κτείνας γένῃ [parodied by Com. Phryn. 2, 605 (= fr. 20, Trag. Gr. Fr. N.²): ὦ φίλτατ' ἀνδρῶν, μή μ' ἀτιμάσας γένῃ].

Pind. P. 2, 72: γένοι' οἷος ἐσσὶ μαθών (but see B. L. G. ad loc.).

Hom. Il. 4, 210–1: ἀλλ' ὅτε δή ῥ' ἵκανον, ὅθι ξανθὸς Μενέλαος | βλήμενος ἦν is not an example. βλήμενος does not go with ἦν.

294. Aorist Participle with forms of **φαίνομαι**.—The aorist participle with forms of φαίνομαι is especially worthy of note as a valuable periphrasis.

αὐτὸς μὲν οὔτε λαβὼν οὐδὲν οὔτ' ἐπιχειρήσας λαβεῖν φανήσομαι, Dem. 21, 40.

Dem. Often of the future ascertainment of a past action. So 5, 10: οὐδὲν τούτων οὔτ' ἐξαπατήσας οὔτε σιγήσας ἐγὼ φανήσομαι, ἀλλὰ προειπὼν ὑμῖν κτέ. 20, 80. 21, 39. 40 (see above). 22, 47, and elsewhere.

Isoc. 12, 78: τούτου δὲ κάλλιον στρατήγημα . . . οὐδεὶς φανήσεται πράξας. 83: φανήσεται ποιησάμενος. (Cf. 41: φανησόμεθα . . . ἀπολελοιπότες. 138: φανείην ἂν . . . εἰρηκώς. 172. 209.)

Lys. 25, 16: εἰς τὸν κατάλογον . . . καταλέξας οὐδένα φανήσομαι, *It will appear that I have put no one in the catalogue.*

295. Periphrastic Aorist Participle with **ἔχω**.—The periphrastic aorist participle with ἔχω emphasizes the maintenance of the result

[1] A. J. P. iv (1883), 306.

and is therefore an equivalent of the perfect, the double nature of which is thus analyzed, ἔχω representing one end, the participle the other. The periphrasis seems to have originated in the transitive use of ἔχω, *I have, hold*, though others consider ἔχω to be intransitive and nearly equal to εἰμί. It is not always possible to feel the original force, and in Herodotus and the tragic poets ἔχω and the participle are used frankly as parallels to the perfect.[1]

τὸν λόγον δέ σου πάλαι θαυμάσας ἔχω, PLATO, Phaedr. 257 C; *I have long been in a state of wonderment about your speech.*

DEM. 9, 12: καὶ μὴν καὶ Φερὰς . . . ἔχει καταλαβών.

AESCHIN. 1, 15: ἑνὶ κεφαλαίῳ πάντα τὰ τοιαῦτα συλλαβὼν ἔχει.

PLATO, Gorg. 456 A: συλλαβοῦσα . . . ἔχει. Legg. 793 B. Phaedr. 257 C (see above). Tim. 30 C.

THUC. 1, 30, 1: Κορινθίους δὲ δήσαντες εἶχον. 1, 38, 6: Ἐπίδαμνον . . . ἑλόντες βίᾳ ἔχουσι.

HDT. 1, 41: ἐγώ σε . . . ἐκάθηρα καὶ οἰκίοισι ὑποδεξάμενος ἔχω (in contrast to the aorist). 6, 12: ἀνδρὶ Φωκαέι . . . ἐπιτρέψαντες ἡμέας αὐτοὺς ἔχομεν. 7, 9, α): ἔχομεν δὲ αὐτῶν παῖδας καταστρεψάμενοι (cf. DEM. 4, 6: πάντα κατέστραπται, καὶ ἔχει).

EUR. Ion, 735–7: ὦ θύγατερ, ἄξι' ἀξίων γεννητόρων | ἤθη φυλάσσεις κοὐ καταισχύνασ' ἔχεις | τοὺς σοὺς παλαιοὺς ἐκγόνους αὐτόχθονας. Phoen. 856–7.

SOPH. Ai. 21–2: νυκτὸς γὰρ ἡμᾶς τῆσδε πρᾶγος ἄσκοπον | ἔχει περάνας, εἴπερ εἴργασται τάδε (parallel with the perfect). 676. Ant. 22. 31–2. 180. 192–3. O. R. 577. Ph. 942–3.

PIND. N. 1, 31: οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον κατακρύψαις ἔχειν.

HES. O. et D. 42: κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι.

HOM. Il. 1, 356: ἑλὼν γὰρ ἔχει γέρας (= εἶλε καὶ ἔχει).

296. PERIPHRASTIC PERFECT PARTICIPLE WITH **ἔχω.** — The periphrastic perfect participle with ἔχω is also found.

PLATO, Theaet. 200 A: ἐπιστήμην ἄρα οἰήσεται τεθηρευκὼς ἔχειν.

XEN. An. 1, 3, 14: ὧν . . . πολλὰ χρήματα ἔχομεν ἀνηρπακότες.

SOPH. Ph. 600: ὅν γ' εἶχον ἤδη χρόνιον ἐκβεβληκότες.

Epistolary Tenses

297. In letters the aorist is sometimes used from the point of view of the receiver.

Κρήνης, ᾧ ἔδωκα τὴν ἐπιστολήν, ἔστι . . . καὶ σοὶ φίλος, PLATO, [Ep.] 15; *Crenes, to whom I gave (give) this letter, is a true friend to you also.*

[1] See also Ph. Thielmann in Abhandlungen Wilhelm von Christ dargebracht von seinen Schülern, München, 1891, pp. 294–306.

Isoc. Ep. 3, 1 : ἠβουλήθην = βούλομαι. *Ibid.* 4, 1 : προειλόμην = προῄρημαι. Plato, [Ep.] 15 (see above).

298. As there are few genuine Greek letters of the classical period, we have not the material to determine whether there was ever such an extensive permutation of tenses as we find in Cicero's letters. The aorist in the N. T. is clearly due to Roman influence, and is not to be cited.

Tenses of the Moods

299. In the language of classic prose the indicative alone expresses the sphere of time directly (183), the other moods express the sphere of time indirectly.

300. It must be noticed, however, that in the earlier language the optative appears to have been used as a potential of the past; hence its affinity with the past tenses in *oratio obliqua*, hence, perhaps, the occasional use of the present optative as a real imperfect. Nor, on the other hand, are we to overlook the fact that the indicative loses its sphere of time in unreal conditional sentences.

301. Subjunctive and imperative are both future by their nature. So also is the optative outside of *oratio obliqua*. Under the head of future are included immediate and indefinite present. When we use, then, "present," "perfect," and "aorist" of the non-indicative moods, we mean by present "continuance," by perfect "completion," and by aorist "attainment."

302. In not a few verbs, owing to their sense, some of the modal tenses are not used, some are rare. We should not expect to find ἀπολλύοιτο, and χαρείη (Hom. Il. 6, 481) is scarce.

Tenses of the Imperative

303. Present (durative):
γίγνωσκε σαυτόν, Aeschyl. P. V. 309; *Learn, strive, to know thyself.*
Aorist (attainment):
γνῶθι σαυτόν, Plato, Protag. 343 B; "*Come to a knowledge of thyself.*"
Perfect (completion):
ἀνερρίφθω κύβος, Com. Men. 4, 88; *Let the die be cast and stay cast.*
For additional examples see under *Imperative Mood.*

Tenses of the Subjunctive

304. Present:
σκοπώμεθα, Plato, Protag. 314 B; *Let us consider* (a course of study).
μὴ διώκωμεν, Hdt. 8, 109; *Let us give up the pursuit.*

AORIST:

σκεψώμεθα, PLATO, Protag. 330 B; *Let us consider* (each part by itself). **εἶπω . . . σοι τὸ αἴτιον;** Theaet. 149 B; *Shall I tell you the reason?*

For additional examples see chapters on the Subjunctive and the Imperative Mood.

Tenses of the Pure Optative

305. PRESENT:

νικῴη δ' ὅ τι πᾶσιν μέλλει συνοίσειν, DEM. 4, 51; *May that prevail which shall advantage all!* **ἔρδοι τις ἣν ἕκαστος εἰδείη τέχνην,** AR. Vesp. 1431.

AORIST:

ὑμεῖς δ' ἕλοισθ' ὅ τι καὶ τῇ πόλει καὶ ἅπασι συνοίσειν ὑμῖν μέλλει, DEM. 3, 36; *May you choose that which shall advantage both the state and all of you!*

PERFECT:

Chiefly with such perfects as are equivalent to presents.

αὐτίκα τεθναίην, HOM. Il. 18, 98; *May I be dead forthwith!* **αἲ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη,** Od. 6, 244 (periphrastic perfect).[1]

For further examples see under the *Optative Mood.*

Tenses of the Optative with ἄν

306. PRESENT (Future ascertainment of a present, future, or past imperfect action):

φαῦλοι . . . ἂν . . . εἶεν, PLATO, Apol. 28 B–C; *They must be sorry fellows.* **τάχα δὲ ἂν καὶ οἱ ἀποδόμενοι λέγοιεν** (*might have told the tale*) **ἀπικόμενοι ἐς Σπάρτην ὡς ἀπαιρεθείησαν ὑπὸ Σαμίων,** HDT. 1, 70.

AORIST (Future ascertainment of an aoristic action, rarely of the past):

οὐκ ἂν ἀρνηθείην, DEM. 21, 191; *I can't deny it.* **τάχα δ' ἄν τι καὶ τοῦ ὀνόματος ἐπαύροιτο,** HDT. 7, 180; *Perhaps he may to some extent have had his name also to thank for that* (as if **ἐπαυρόμενος ἂν γένοιτο**).

PERFECT (Future ascertainment of a completed action):

λέληθέ σε . . .; . . . πῶς ἂν . . . λελήθοι (με); XEN. Conv. 3, 6; *Has it escaped your observation? How can it have escaped my observation?* **ἡμεῖς ἂν εἶμεν θατέρῳ κεχρημένοι,** EUR. Hipp. 349; *We must have felt the worser half.*

See further the chapter on the *Optative with ἄν.*

[1] The analysis which involves the future ascertainment of a past action, while not infrequent in sentences of opinion (optative and *ἄν*), is naturally rare in sentences of wish, which are not analytical, so that for an example of this form of wish, we must have recourse to the manufactured sentences of a grammarian. *εἴθε νενικήκοι μου ὁ παῖς, εἴθε δεδοξασμένος εἴη,* APOLLONIUS DYSC. p. 251, 25–6 (Bekk.); *May my son have conquered* (action decided, ascertainment still in suspense); *may he have covered himself with glory.*

Tenses of the Optative as Representative of the Indicative

307. The optative as the representative of the indicative in *oratio obliqua* after a past tense ordinarily represents the corresponding tenses of the indicative from the point of view of the speaker.

Present Optative (= Present Indicative):

ἔλεγεν ὅτι εἰ . . . βλαβερὰ τῇ Λακεδαίμονι πεπραχὼς εἴη (= **πέπραχε**), **δίκαιος εἴη** (= **δίκαιός ἐστι**) **ζημιοῦσθαι,** XEN. Hell. 5, 2, 32; *He said that if he had (has) done what was damaging to Lacedaemon, he deserved (deserves) to be punished.*

LYS. 12, 6: *ἔλεγον . . . ὡς εἶέν τινες τῇ πολιτείᾳ ἀχθόμενοι.*

PLATO, Euthyd. 276 E: *ἀπεκρίνατο ὅτι μανθάνοιεν οἱ μανθάνοντες ἃ οὐκ ἐπίσταιντο.*

XEN. Hell. 5, 2, 32 (see above).

HDT. 1, 83: *ἦλθε ἄλλη ἀγγελίη, ὡς ἡλώκοι τὸ τεῖχος . . . καὶ ἔχοιτο Κροῖσος ζωγρηθείς.*

SOPH. Tr. 161–2: *εἶπε μὲν λέχους ὅ τι | χρείη μ' ἑλέσθαι κτῆσιν.*

HOM. Only after interrogatives. Od. 15, 423: *εἰρώτα δὴ ἔπειτα τίς εἴη καὶ πόθεν ἔλθοι.* 17, 368.[1]

308. *Aorist Optative* (= Aorist Indicative):

ἀπήγγελλεν ὡς τὸ . . . ἄστυ . . . ἑαλωκὸς καταλίποι, LYCURG. 18; *He reported that he had left the city captured.*

LYCURG. 18 (see above).

DEM. [34], 11: *ἔλεγεν ὅτι οὔτε τὰ χρήματα ἔνθοιτο εἰς τὴν ναῦν οὗτος . . . οὔτε τὸ χρυσίον εἰληφὼς εἴη παρ' αὐτοῦ ἐν Βοσπόρῳ.* [52], 15 (see **312**). [59], 81 (see **311**).

XEN. An. 4, 3, 11: *ἔλεγον ὅτι τυγχάνοιεν φρύγανα συλλέγοντες ὡς ἐπὶ πῦρ, κἄπειτα κατίδοιεν . . . γέροντά τε καὶ γυναῖκα κτέ.* Hell. 1, 7, 5 (see **312**).

AR. Ach. 648–9: *ἠρώτησεν . . . τοῦτον τὸν ποιητὴν ποτέρους εἴποι κακὰ πολλά.* Vesp. 283: *κατείποι.*

SOPH. Tr. 431–2: *ἤκουσεν ὡς ταύτης πόθῳ | πόλις δαμείη πᾶσα.*

PIND. O. 6, 49: *εἴρετο παῖδα τὸν Εὐάδνα τέκοι* (where see note).

HOM. Od. 15, 423 (**307**). 17, 368 (**307**). 24, 237: *ὡς ἔλθοι* is to be considered interrogative (*how he had come*).

309. *Perfect Optative* (= Perfect Indicative):

ἔλεγον ὅτι ἐγὼ πάντα εἴην (= **εἰμί**) **πεπυσμένος,** LYS. 1, 18; *I said that I had found out everything.*

DEM. 18, 22: *ἐτόλμα λέγειν ὡς ἆρ' ἐγὼ . . . κεκωλυκὼς εἴην τὴν πόλιν . . . ταύτην* (= *τὴν εἰρήνην*) *ποιήσασθαι.* [34], 11: *εἰληφὼς εἴη* (**308**).

[1] A. J. P. iv (1883), 419.

Lys. 1, 18 (see above).

Plato, Phaedo, 59 E: ἐπυθόμεθα ὅτι τὸ πλοῖον ἐκ Δήλου ἀφιγμένον εἴη.

Xen. Hell. 1, 1, 11: πυθόμενος δὲ ὅτι αἱ τῶν Πελοποννησίων νῆες . . . ἀνηγμέναι εἶεν εἰς Κύζικον, . . . ἦλθεν εἰς Σηστόν. Hell. 5, 2, 32: πεπραχὼς εἴη (307).

Hdt. 1, 83: ἡλώκοι (307).

310. *Future Optative* (= Future Indicative):

ἔλεγον ὅτι . . . οὐ δυνήσοιντο (= **οὐ δυνησόμεθα**) **μὴ πείθεσθαι τοῖς Θηβαίοις,** Xen. Hell. 6, 1, 1; *They said that they would not be able to refuse to obey the Thebans.*

Dem. [50], 56: ἀπεκρίνατό μοι ὅτι οὐδ' ἀκαρῆ δανείσοι.

Isae. 6, 23: εἰδότες δ' οἱ ἀναγκαῖοι ὅτι ἐξ ἐκείνου μὲν οὐκ ἂν ἔτι γένοιντο παῖδες . . ., φανήσοιντο δ' ἄλλῳ τινὶ τρόπῳ, καὶ ἐκ τούτων ἔσοιντο ἔτι μείζους διαφοραί, ἔπειθον κτέ.

Antiphon, 1, 11: ἐπεξίοιμι (195).

Plato, Euthyd. 283 A: ἐπεσκόπουν τίνα ποτὲ τρόπον ἅψοιντο τοῦ λόγου καὶ ὁπόθεν ἄρξοιντο κτέ.

Xen. Hell. 2, 3, 17: πολλοὶ δῆλοι ἦσαν . . . θαυμάζοντες τί ἔσοιτο ἡ πολιτεία. *Ibid.*: ἔλεγεν ὁ Θηραμένης ὅτι . . . ἀδύνατον ἔσοιτο τὴν ὀλιγαρχίαν διαμένειν. 2, 3, 56: εἶπεν ὁ Σάτυρος ὅτι οἰμώξοιτο (= οἰμώξει). 6, 1, 1.

Ar. Eq. 776: οὐ φροντίζων τῶν ἰδιωτῶν οὐδενός, εἰ σοὶ χαριοίμην.

Aeschyl. Pers. 356–60: ἔλεξε παιδὶ σῷ Ξέρξῃ τάδε, | ὡς . . . Ἕλληνες οὐ μενοῖεν, ἀλλὰ . . . βίοτον ἐκσωσοίατο.

Pind. O. 9, 115–6: ἐκέλευσεν διακρῖναι . . . ἄντινα σχήσοι τις ἡρώων (earliest example).

311. Retention of Imperfect and Pluperfect Indicative in *Oratio Obliqua*.—The imperfect and pluperfect having no optative, the retention of the indicative is to be expected.

ἐδεῖτο ὁ Θεογένης . . . λέγων ὅτι οὐκ ᾔδει Νεαίρας αὐτὴν οὖσαν θυγατέρα, ἀλλ' ἐξαπατηθείη ὑπὸ Στεφάνου, Dem. [59], 81; *Theogenes begged saying that he did not know that she was the daughter of Neaera, but that he had been deceived by Stephanus.*

312. Present Optative representing Imperfect Indicative.—In the absence of an imperfect optative the present optative is not infrequently found to represent an imperfect indicative.

διηγοῦντο ὅτι αὐτοὶ μὲν ἐπὶ τοὺς πολεμίους πλέοιεν (= **ἔπλεον**), **τὴν δὲ ἀναίρεσιν τῶν ναυαγῶν προστάξειαν . . . Θηραμένει κτέ.,** Xen. Hell. 1, 7, 5; *Their story was that they kept sailing after the enemy and had assigned the picking up of the shipwrecked to Theramenes etc.*

Dem. [52], 15: ἐτόλμησαν μαρτυρῆσαι ὡς ὁ μὲν Κάλλιππος ὅρκον τῷ πατρὶ δοίη (= ἔδωκε), ὁ δὲ πατὴρ οὐκ ἐθέλοι (= οὐκ ἤθελεν) ὀμόσαι.

Lys. 1, 14: ἐρομένου δ' ἐμοῦ τί αἱ θύραι νύκτωρ ψοφοῖεν (cf. § 17: ἀναμιμνησκόμενος ... ὅτι ... ἐψόφει). 1, 20: κατηγόρει ... ὡς μετὰ τὴν ἐκφορὰν αὐτῇ προσίοι.

Xen. An. 4, 3, 11: τυγχάνοιεν (see **308**). Hell. 1, 7, 5 (see above).

See further on this whole subject *Oratio Obliqua* and *Object Sentences*.

Tenses of the Infinitive

Infinitive as a Verbal Noun

313. The infinitive as a verbal noun is used chiefly in the present and aorist, more rarely in the perfect. The temporal relation is that of the kind of time.

Infinitive as a Subject[1]

314. Present:

a. *Without the article:*

ῥᾷον παραινεῖν ἢ παθόντα καρτερεῖν, Eur. Alc. 1078; *'T is easier to preach than suffer and be strong.*

Lys. 8, 2: ἀνιαρὸν μὲν οὖν ἀναγκάζεσθαι λέγειν περὶ τούτων, ἀδύνατον δὲ μὴ λέγειν.

Andoc. 1, 8: κράτιστον οὖν μοι εἶναι δοκεῖ ἐξ ἀρχῆς ὑμᾶς διδάσκειν πάντα τὰ γενόμενα καὶ παραλιπεῖν μηδέν.

Plato, Rpb. 555 C: πλοῦτον τιμᾶν καὶ σωφροσύνην ἅμα ἱκανῶς κτᾶσθαι ... ἀδύνατον.

Thuc. 1, 5, 2: κόσμος καλῶς τοῦτο δρᾶν.

Com. Archipp. 2, 727: ὡς ἡδὺ τὴν θάλατταν ἀπὸ τῆς γῆς ὁρᾶν | ὦ μῆτέρ ἐστι.

Eur. Alc. 1078 (see above).

Aeschyl. P. V. 751: πάσχειν (see **316**).

Theogn. 211: οἰνόν τοι πίνειν πουλὺν κακόν.

Hom. Il. 1, 274: πείθεσθαι ἄμεινον. 2, 453: τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων γένετ' ἠὲ νέεσθαι. 10, 174.

315. b. *With the article:*

κακὸν τὸ πίνειν, Ar. Vesp. 1253; *A bad thing this drinking.* τὸ βούλεσθαί μ' ἔκνιζε, Eur. I. A. 330.

Isoc. 2, 2: τοὺς μὲν γὰρ ἰδιώτας ἐστὶ πολλὰ τὰ παιδεύοντα, μάλιστα μὲν τὸ μὴ τρυφᾶν ἀλλ' ἀναγκάζεσθαι περὶ τοῦ βίου καθ' ἑκάστην βουλεύεσθαι τὴν ἡμέραν.

[1] Or quasi-subject. See *Infinitive*.

PLATO, Alc. II, 143 E: *κακὸν ἄρ', ὡς ἔοικεν, ἐστὶν ἡ τοῦ βελτίστου ἄγνοια καὶ τὸ ἀγνοεῖν τὸ βέλτιστον.*

XEN. Cyr. 5, 1, 11: *τὸ . . . ἐρᾶν ἐθελούσιόν ἐστιν.*

AR. Vesp. 1253 (see above). fr. 2, 1133: *τὸ γὰρ φοβεῖσθαι τὸν θάνατον λῆρος πολύς.*

EUR. Alc. 693: *τὸ δὲ ζῆν μικρόν, ἀλλ' ὅμως γλυκύ.* Bacch. 389–90: *ὁ δὲ . . . βίοτος καὶ τὸ φρονεῖν.* Heracl. 240: *τὸ συγγενές τε καὶ τὸ προυφείλειν.* 476: *σιγή τε καὶ τὸ σωφρονεῖν.* I. A. 330 (see above).

SOPH. El. 265: *τὸ τητᾶσθαι* (316). 770: *δεινὸν τὸ τίκτειν ἐστίν* (136). fr. 239: *ἀλλὰ τῷ γήρᾳ φιλεῖ | χώ νοῦς ὁμαρτεῖν καὶ τὸ βουλεύειν ἃ δεῖ.*

PIND. O. 9, 38: *τὸ καυχᾶσθαι.* P. 2, 56: *τὸ πλουτεῖν.* N. 5, 18: *τὸ σιγᾶν.*

SIMON. C. 100, 1: *τὸ καλῶς θνῄσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον.*

316. AORIST:

a. *Without the article:*

κρεῖσσον γὰρ εἰσάπαξ θανεῖν | ἢ τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς, AESCHYL. P. V. 750–1: *'T is better once for all to die than suffer on forever and forevermore.*

DEM. 3, 18: *εὔξασθαι μὲν . . . ῥᾴδιον . . ., ἑλέσθαι δ' . . . οὐκέθ' ὁμοίως εὔπορον.*

ANDOC. 1, 8: *παραλιπεῖν* (see 314).

PLATO, Theaet. 187 E: *κρεῖττον γάρ που σμικρὸν εὖ ἢ πολὺ μὴ ἱκανῶς περᾶναι.*

THUC. 1, 22, 1: *χαλεπὸν τὴν ἀκρίβειαν αὐτὴν τῶν λεχθέντων διαμνημονεῦσαι.*

AR. Vesp. 367: *διατραγεῖν τοίνυν κράτιστόν ἐστί μοι τὸ δίκτυον.*

SOPH. El. 264–5: *(ἐ)κ τῶνδέ μοι | λαβεῖν θ' ὁμοίως καὶ τὸ τητᾶσθαι πέλει.*

AESCHYL. P. V. 750–1 (see above).

PIND. P. 4, 272: *ῥᾴδιον μὲν γὰρ πόλιν σεῖσαι.*

BACCHYL. III, 47: *θανεῖν γλύκιστον.*

HOM. Od. 9, 241: *ἀργαλέον, βασίλεια, διηνεκέως ἀγορεῦσαι.*

Il. 2, 5–6: *ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή· | πέμψαι ἐπ' Ἀτρεΐδῃ Ἀγαμέμνονι οὖλον ὄνειρον.*

317. b. *With the article:*

τὸ . . . καταγελασθῆναι ἴσως οὐδὲν πρᾶγμα, PLATO, Euthyph. 3 C; *To get laughed at is perhaps a matter of no great consequence.*

DEM. 1, 23: *πολλάκις δοκεῖ τὸ φυλάξαι τἀγαθὰ τοῦ κτήσασθαι χαλεπώτερον εἶναι.*

ANDOC. 2, 5: *μεγάλη δὲ δήπου καὶ τὸ ἐξαμαρτεῖν δυσπραξία ἐστί.*

ANTIPHON, 5, 91: *τὸ ἀδίκως ἀπολῦσαι ὁσιώτερον ἂν εἴη τοῦ μὴ δικαίως ἀπολέσαι.*

PLATO, Euthyph. 3 C (see above).

THUC. 3, 58, 2: *βραχὺ γὰρ τὸ τὰ ἡμέτερα σώματα διαφθεῖραι.*

AR. Lys. 884: *οἷον τὸ τεκεῖν.*

COM. Antiphan. 3, 150: *τὸ προῖκ' ἀποθανεῖν ἐστι φανερὰ ζημία.*

EUR. fr. 854: *τὸ μὲν σφαγῆναι δεινόν.*

PIND. O. 8, 60: *ἄγνωμον δὲ τὸ μὴ προμαθεῖν.*

ALCAE. 30: *τὸ γὰρ | Ἄρευϊ καθάνην κάλον.*

318. PERFECT:

a. *Without the article:*

πόλει . . . ἀνάγκη βεβουλεῦσθαι τί χρὴ δρᾶν, PLATO, Legg. 949 E; *A city must needs have a settled policy as to what is to be done.*

DEM. 19, 179: *ἠλωκέναι προσήκει.* *Ibid.* 282: *ἀπολωλέναι.* 21, 120: *ἀνηρπάσθαι.* 36, 13: *δεδωκέναι.*

LYS. 30, 27: *τούτῳ γε προσήκει διὰ μὲν αὐτὸν τεθνάναι, διὰ δὲ τοὺς προγόνους πεπρᾶσθαι.*

PLATO, Legg. 949 E (see above). Soph. 222 B: *εἰρῆσθαι.*

HDT. 5, 18: *νόμος . . . ἡμῖν γέ ἐστι . . . κεχωρίσθαι ἄνδρας γυναικῶν.*

BACCHYL. XIV, 1: *εὖ μὲν εἰμάρθαι παρὰ δαί[μοσιν ἀν]θρώποις ἄριστον.*

THEOGN. 181–2: *τεθνάμεναι, φίλε Κύρνε, πενιχρῷ βέλτερον ἀνδρί, | ἢ ζώειν χαλεπῇ τειρόμενον πενίῃ.*

HOM. Od. 3, 209: *νῦν δὲ χρὴ τετλάμεν ἔμπης* (cf. Hymn. Merc. 494–5: *οὐδέ τί σε χρὴ . . . κεχολῶσθαι*).

319. b. *With the article:*

τὸ δίκης . . . ἀφεῖσθαι μεγάλη δωρειὰ . . . ἦν, DEM. 23, 185; *To have been allowed to go free of punishment was a great boon.*

DEM. 23, 185 (see above).

AESCHIN. 3, 236: *τοῦ γὰρ ταῦτ' ἐξεργασθῆναι καλῶς τὸ γεγενῆσθαι τούτων αἴτιον μείζω κατηγορίαν ἔχει.*

ISAE. 11, 18: *οὐκ ἴσχυσε . . . τὸ προνενικηκέναι.*

XEN. Hiero, 8, 6: *αὐτὸ γὰρ τὸ τετιμῆσθαι . . . συνεπικοσμεῖ.*

HDT. 5, 6: *τὸ μὲν ἐστίχθαι εὐγενὲς κέκριται, τὸ δὲ ἄστικτον ἀγεννές.*

AR. Pl. 354–5: *τὸ δ' αὖ δεδοικέναι | πρὸς ἀνδρὸς οὐδὲν ὑγιές ἐστ' εἰργασμένου.*

EUR. Med. 122–3: *τὸ γὰρ εἰθίσθαι ζῆν ἐπ' ἴσοισιν | κρεῖσσον.*

SOPH. Ant. 437–8: *τὸ μὲν γὰρ αὐτὸν ἐκ κακῶν πεφευγέναι | ἥδιστον.*

INFINITIVE AS AN OBJECT

320. PRESENT:

a. *Without the article:*

νῦν αὐτὸν ἀδελφίζειν ἐπιχειρήσουσιν, ISOC. 19, 30; *Now they will undertake to "brother" him.*

ISOC. 5, 87: πολεμεῖν (see **211**). 19, 30 (see above).

PLATO, Gorg. 474 A: οὐκ ἠπιστάμην ἐπιψηφίζειν.

XEN. Hiero, 3, 3: τοὺς μοιχοὺς νομίζουσι πολλαὶ τῶν πόλεων νηποινεὶ ἀποκτείνειν. *Ibid.* 4, 11: τρέφειν (see **324**).

HDT. 3, 83: οὔτε . . . ἄρχειν οὔτε ἄρχεσθαι ἐθέλω.

COM. Philem. 4, 56, 68: αἰτῶ δ' ὑγίειαν πρῶτον, εἶτ' εὐπραξίαν, | τρίτον δὲ χαίρειν, εἶτ' ὀφείλειν μηδενί.

AR. fr. 2, 1038: ἀλλ' οὐ γὰρ ἔμαθε ταῦτ' ἐμοῦ πέμποντος, ἀλλὰ μᾶλλον | πίνειν, ἔπειτ' ᾄδειν κακῶς, Συρακοσίαν τράπεζαν.

SOPH. El. 345–6: ἑλοῦ γε θάτερ', ἢ φρονεῖν κακῶς, | ἢ τῶν φίλων φρονοῦσα μὴ μνήμην ἔχειν.

PIND. O. 3, 36: τοῖς γὰρ ἐπέτραπεν Οὐλυμπόνδ' ἰὼν θαητὸν ἀγῶνα νέμειν.

HOM. Il. 10, 116: σοὶ δ' οἵῳ ἐπέτρεψεν πονέεσθαι.

321. b. *With the article:*

